


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



† ιερεγς
ΒΑΣΙΛΕΙΟΣ Χρ. ΓΚΑΛΙΤΣΟΣ

ΙΕΡΟΝ ΕΚΛΟΓΙΟΝ

ΠΕΡΙΕΧΟΝ

ΤΑ ΕΩΘΙΝΑ ΕΥΑΓΓΕΛΙΑ
ΤΑΣ ΕΥΑΓΓΕΛΙΚΑΣ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΑΣ ΠΕΡΙΚΟΠΑΣ
ΤΑΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑΣ ΚΑΤΑ ΠΑΝ ΣΑΒΒΑΤΟΝ ΚΑΙ
ΚΥΡΙΑΚΗΝ ΚΑΙ ΤΑΣ ΚΥΡΙΩΤΕΡΑΣ ΕΟΡΤΑΣ
ΤΑΣ ΙΕΡΑΣ ΑΚΟΛΟΥΘΙΑΣ
ΤΗΣ ΜΕΓΑΛΗΣ ΕΒΔΟΜΑΔΟΣ ΚΑΙ ΤΟΥ ΠΑΣΧΑ
ΛΕΠΤΟΜΕΡΕΣ ΜΗΝΟΛΟΓΙΟΝ ΜΕΤΑ ΤΩΝ ΤΥΠΙΚΩΝ
ΔΙΑΤΑΞΕΩΝ ΚΑΙ ΠΑΣΧΑΛΙΑ

Δόσις καὶ ἐγκρίσει τῆς Ἱερᾶς Μητροπόλεως Βάρνης

ὑπὸ

ΚΙΜΩΝΟΣ ΦΑΚΑΡΟΥ

Πρωτοψάλτου τοῦ ναοῦ τοῦ Ἁγίου Νικολάου

ΕΝ ΒΑΡΝΗ:

ΕΛΛΗΝΙΚΟΝ ΤΥΠΟΓΡΑΦΕΙΟΝ Χ. ΛΑΜΠΡΙΔΟΥ

1895

Αρ Εισ 50110

GRVER-00711

Ιερατικό Κεντρικό Βιβλιοθηκονομείο



ΔΩΡΕΑ

Βασίλειου Σωμίτσιου

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Αριθμός εισαγωγής 50110

Ημερομηνία εισαγωγής 4-7-85

Ταξινομικός αριθμός 200

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



ΤΗ, ΑΥΤΟΥ

ΘΕΙΟΤΑΤΗ, ΠΑΝΑΓΙΟΤΗΤΙ

ΤΩ,

ΟΙΚΟΥΜΕΝΙΚΩ, ΠΑΤΡΙΑΡΧΗ,

ΑΝΘΙΜΩ, ΤΩ, Ζ!

ΤΗΝ ΒΙΒΛΟΝ ΤΑΥΤΗΝ

ΕΥΣΕΒΑΣΤΩΣ

ΑΦΙΕΡΟΙ

Ο ΕΚΔΟΤΗΣ

1895

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤ. & ΕΘΝΙΚ. ΚΕΝΤΡ. ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΠΡΟΛΟΓΟΣ

ΦΙΛΟΙ ΑΝΑΓΝΩΣΤΑΙ

Ἀπὸ εἰκοσιπενταετίας καὶ ἐπέκεινα ψάλλων ἔντε τοῖς ἐνταῦθα καὶ τοῖς ἐν Κωνσταντινουπόλει ἱεροῖς ναοῖς, διαβλέπων δὲ τὴν ἀπόλυτον ἀνάγκην τῆς ἐν ἑνὶ συμπήξεως καὶ ἐκδόσεως τῶν Ἑωθινῶν Εὐαγγελίων, τῶν κατὰ Σάββατον καὶ Κυριακὴν ἀναγινωσκομένων Εὐαγγελικῶν καὶ ἀποστολικῶν περικοπῶν, τῶν ἱερῶν ἀκολουθιῶν τῆς Μεγάλης ἑβδομάδος καὶ τοῦ Πάσχα, λεπτομερούς Μηνολογίου μετὰ παραρτήματος Πασχαλίων συνῳδὰ τῷ τυπικῷ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, ἐπεχείρησα τὴν πλήρωσιν τῆς ἀνάγκης ταύτης διὰ τοῦ ἀνὰ χεῖρας πονήματός μου, τοῦ «ΙΕΡΟΥ ΕΚΛΟΓΙΟΥ».

Τὸ "Ἱερὸν Ἐκλόγιον„ διὰ τῆς ἐν τῇ πολυκιλίᾳ τῆς ὕλης ἑνότητος αὐτοῦ εὐμεγῶς κρινόμενον, ὡς χαίρω φρονῶν, δύναται ἱκανῶς νὰ παράσχῃ ὠφέλειαν καὶ ν' ἀποβῇ χρήσιμον οὐ μόνον τοῖς κληρικοῖς, ἀλλὰ καὶ παντὶ εὐσεβεῖ καὶ φιλακολούθῳ χριστιανῷ, διαπύρως εὐχομαι ὅπως πολλὴν ἀποφέρῃ καρποφορίαν, δώσῃ δὲ ἀφορμὴν τοῖς λογιωτέροις καὶ θεολόγοις πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔκδοσιν ἐπιστημονικωτέρων καὶ μᾶλλον ὠφελίμων ἱερῶν πονημάτων.

Ἐν τέλει ἐκφράζων τὰς βαθείας εὐχαριστίας καὶ τὴν εὐγνωμοσύνην μου πρὸς τοὺς ἀπανταχοῦ συνδρομητάς μου καὶ ἰδίᾳ πρὸς τὴν Αὐτοῦ Σεβασμ. τὸν μητροπολίτην Βάρνης Κύριον Πολύκαρπον ἐπὶ τῇ πατρικῇ ἐνθαρρύνσει καὶ προστασίᾳ, οὐ μὴν ἀλλὰ καὶ τῇ ζωηρᾷ μερίμνῃ, τὴν ὁποίαν ἐπεδείξατο κατὰ τὴν διάρκειαν τῆς ἐκτυπώσεως τοῦ ἱεροῦ ἐκλογίου ἐκδοὺς κατ' αἴτησίν μου καὶ τὴν ἀπέναντι δημοσιευομένην ἔγκρισιν,

Διατελῶ

ΠΡΟΘΥΜΟΣ

ΚΙΜΩΝ ΦΑΚΑΡΟΣ

Πρωτοψάλτης τοῦ ναοῦ τοῦ Ἁγίου Νικολάου.

Ἐν Βάρνῃ κατὰ Μάρτιον 1895

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Η ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΒΑΡΝΗΣ

ΑΡΙΘ. ΠΡΩΤ. 101

Πρὸς τὸν Ἐνταῦθα Μουσικολογιώτατον πρωτοψάλτην κ. ΚΙΜΩΝΑ ΦΑΚΑΡΟΝ

Ἀπαντῶντες εἰς τὴν ἀπὸ 10 λήγοντος Μαρτίου μηνὸς ε. ε. ὑμετέραν αἴτησιν γνωρίζομεν ὑμῖν, ὅτι ἐπιτρέπεται, ἵνα τύποις ἐκδοθῇ τὸ ὑφ' ὑμῶν μετὰ πολλῆς τῆς ἐπιμελείας καὶ ἀξιεπαίνου φιλοπονίας καταρτισθὲν ἔργον, τὸ ἐπωνυμούμενον "Ἱερὸν ἐκλόγιον„ ὡς συνάδον κατὰ πάντα πρὸς τὸ Τυπικὸν τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Ἐν Βάρνῃ τῇ 22 Μαρτίου 1895

† Ο ΒΑΡΝΗΣ ΠΟΛΥΚΑΡΠΟΣ

(Τ. Σ.)

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΙΕΡΟΝ
ΕΚΛΟΓΙΟΝ

Τυπική διάταξις

ΤΗ, ΑΓΙΑ, ΚΑΙ ΜΕΓ. ΚΥΡΙΑΚΗ, ΤΟΥ ΠΑΣΧΑ

ΕΝ ΤΩ ΟΡΘΡΩ

Περί τήν 5-ην ὥραν τῆς νυκτὸς Γουρκιστί ἡ 12 ην Εὐρωπαϊστί εἰσερχόμεθα ἐν τῷ ναῷ. ὁ Ἱερεὺς «Εὐλογητὸς ὁ Θεὸς» ὁ Ἀρχιερεὺς εἶ" ἔστι τοιοῦτος (Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι· Βασιλεῦ οὐράνιε, Τρισάγιον Παναγία Τριάς, Πάτερ ἡμῶν, ὅτι σοῦ ἐστιν· τὸ Κύριε ἐλέησον ιβ! Δόξα Πατρί. Καὶ νῦν. Δεῦτε προσκυνήσωμεν ἐκ γ! Ὁ Ν ψαλμός. Χύμα. Εἶτα ψάλλεται ὑπὸ τῶν δύο χορῶν εἰς ἑξ ὁ Κανὼν Κύματι θαλάσσης μετὰ τοῦ στίχου δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι· καὶ ἐν τέλει ἑκάστης ᾠδῆς, ἐπαναλαμβάνεται ὁ Εἱρμὸς ψαλλόμενος ἐμμελέστερον εἰς ἀργότερον χρόνον. Μετὰ τὴν Γ'. ᾠδὴν τὸ κάθισμα οὐ ψάλλεται. Ἀρχομένης δὲ τῆς Δ'. ᾠδῆς, ὁ Ἀρχιερεὺς λαμβάνει καιρὸν καὶ εἰσέρχεται εἰς τὸ Ἱερὸν βῆμα καὶ ἐνδύεται ἅπασαν τὴν Ἀρχιερατικὴν αὐτοῦ στολήν. Μετὰ δὲ τὴν Θ'. ᾠδὴν τοῦ Κανόνος, ὁ Ἀρχιερεὺς ἢ ὁ Ἱερεὺς ἱστάμενος πρὸ τῆς Ὡραίας Πύλης κρατῶν λαμπάδα ἀνημμένην ἐκ τοῦ ἀκοιμήτου φωτὸς τῆς Ἁγίας Τραπέζης μεταδίδει τὸ Ἱερὸν φῶς εἰς τοὺς χριστιανοὺς ψάλλων τὸ «Δεῦτε λάβετε φῶς ἐκ τοῦ ἀνεσπέρου φωτὸς καὶ δοξάσατε Χριστὸν τὸν ἀναστάντα ἐκ νεκρῶν» τὸ αὐτὸ καὶ οἱ χορ ί ἀνὰ μίαν. Εἶτα δὲ ἄρχεται ὁ Ἀρχ. ἢ ὁ Ἱερεὺς ψάλλων τὴν «Ἀνάστασίν σου Χριστὲ Σωτὴρ Ἄγγελοι ὑμνοῦσιν ἐν οὐρανοῖς καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.» τὸ αὐτὸ ἐπαναλαμβάνεται καὶ ὑπὸ τῶν χορῶν, ἕως οὗ φθάσωμεν εἰς τὴν προδιωρισμένην ἐξέδραν. Ἐνταῦθα ὁ Διάκονος ἢ ὁ Ἱερεὺς ἐκφωνεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

«Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν» «Σοφία, Ὀρθοὶ» ἀκούσωμεν τοῦ ἁγ. Εὐαγγελίου. Ὁ Ἀρχιερεὺς ἢ ὁ Ἱερεὺς Εἰρήνη πᾶσι.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα. Πρόσχωμεν

ΚΗ. 1—10 16—20)

Ὀψὲ (*)Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας· Ἄγγελος γὰρ Κυρίου, καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ Ἄγγελος, εἶπε ταῖς γυναιξί. Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. Οὐκ ἔστιν ὧδε ἠγέρθη γὰρ, καθὼς εἶπε· δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος. Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ, εἶπον ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς Μαθηταῖς αὐτοῦ. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς Μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ, ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. Τότε λέγει αὐταῖς ὁ Ἰησοῦς. Μὴ φοβεῖσθε· ὑπάγετε, ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα

*) Εἰς πολλὰ μέρη ἀναγινώσκεται τὸ Βι-ον Ἑωθινὸν Εὐαγγέλιον. Διαγενομένου τοῦ Σαββάτου· Σελ. 69 ἀλλ' ἐν τοῖς Πατριαρχείοις ἀναγινώσκεται τὸ ἀνωτέρω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. Οἱ δὲ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Μετὰ δὲ τὸ τέλος τοῦ Εὐαγγελίου ψάλλεται τὸ εἰς πολλὰ ἔτη δέσποτα, ὑπάρχοντος ἀρχιερέως. Εἶτα θυμιᾶ (τρὶς) ὁ Ἀρχιερεὺς ἢ ὁ Ἱερεὺς τὸ Ἱερὸν Εὐαγγέλιον καὶ ἐκφωνήσας τό. Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ Ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· καὶ ἄρχεται ψάλλων μελῳδικῶς, τὸ «Χριστὸς ἀνέστη ἐκ νεκρῶν κτλ. (ἐκ γ!) Καὶ οἱ χοροὶ τὸ αὐτὸ ἐξάκις. ὅπερ καὶ ἐπαναλαμβάνεται ἔτι ἅπαξ· ὑπὸ τοῦ Ἀρχιερέως ἢ Ἱερέως· καὶ εὐθὺς ὁ Διάκονος τὴν Μ. Συναπτὴν· καὶ εἶτα ὁ Ἀρχιερεὺς τὴν ἐκφώνησιν «Ὅτι πρέπει σοι πᾶσα δόξα κτλ. Καὶ οὕτως εἰσερχόμεθα εἰς τὸν Ἱερὸν Ναὸν, ψάλλοντες τὸν Ἀναστάσιμον Κανόνα.

ΑΠΟΣΤΟΛΟΣ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ ΤΟΥ ΠΑΣΧΑ

Προκείμενον, ἦχος πλ. δ!

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα, τὸ ἔλεος αὐτοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφάλ. Α! 1—8

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναυλιζόμενος, παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου. Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων, αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. Ἀλλὰ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ ΤΟΥ ΠΑΣΧΑ.

Ἐκ τοῦ κατὰ Ἰωάννην

Κεφ. ά 1—17

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν· Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός)· πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων· Οὗτος ἦν ὃν εἶπον. Ὁ ὀπίσω μου ἐρχόμενος, ἐμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος· Ὅτι ὁ νόμος διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ.

Ἐν δὲ τῷ ἑσπερινῷ τῆς αὐτῆς Κυριακῆς τοῦ Πάσχα ἀρχομένῳ τὴν ζην ὥραν Τουρκιστὶ ἢ τὴν 9-ην πρὸ Μεσημβρίας Εὐρωπαϊστὶ ἀναγινώσκεται τὸ παρὸν Εὐαγγέλιον κατὰ Περιόδους ὑπὸ τοῦ Ἀρχιερέως ἢ ἔστι τοιοῦτος, τῶν Ἱερέων, καὶ Διακόνων.

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν, «Σοφία, Ὀρθοὶ» ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελ. τὸ Ἀνάγνωσμα

Κεφ. κ! 19—25

Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν Σαββάτων καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταὶ, ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον. Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν Δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι Μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τῶν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος

Προκείμενον, ἦχος πλ. δ!

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Α'. 12—17 21—26

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὑπέστρεψαν οἱ Ἀπόστολοι εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ, Σαββάτου ἔχον ὁδόν. Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, οὗ ἦσαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταμένοντες, ὅ,τε Πέτρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος, καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου, καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου. Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ, καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν Μαθητῶν, εἶπεν· (ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν·) Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαυῒδ, περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν· ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων. Καὶ ἔστησαν δύο, Ἰωσῆν τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. Καὶ προσευξάμενοι εἶπ ν· Σὺ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ἐκ τούτων τῶν δύο ἕνα, ὃν ἐξελέξω, λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας, πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. Καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἑνδεκα Ἀποστόλων.

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἐν τῇ Λειτουργίᾳ Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ἰωάννην (Α. 18 28)

Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ἐκεῖνος ἐξηγήσατο. Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτι ἀπ
Ἰουδαῖοι ἐξ Ἱεροσολύμων Ἱερεῖς καὶ Λευῖτ
ρωτήσωσιν αὐτόν, Σὺ τίς εἶ ; Καὶ ὡμολόγη
ἠρνήσατο· καὶ ὡμολόγησεν, Ὅτι οὐκ εἰμὶ ἐγὼ
Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν ; Ἠλίας εἶ σύ
γει· Οὐκ εἰμί. Ὁ Προφήτης εἶ σύ ; Καὶ ἀπ
Εἶπον οὖν αὐτῷ· Τίς εἶ ; ἵνα ἀπόκρισιν δῶμ
ψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτοῦ ; Ἔ
φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·
τε τὴν ὁδὸν Κυρίου· καθὼς ε
ας ὁ Προφήτης Καὶ οἱ ἀπεσταλμένοι ἦσ
Φαρισαίων· καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον
οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, ο
οὔτε ὁ Προφήτης ; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάν
Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕ
ὑμεῖς οὐκ οἴδατε· αὐτός ἐστιν ὁ ὀπίσω μου
ὃς ἔμπροσθέν μου γέγονεν· οὗ ἐγὼ οὐκ εἰ
λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος. Τ
θαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου
νης βαπτίζων.

ΤΗ ΤΡΙΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολ

Προκείμενον, ἦχος γ !

Μαγαλύνει ἡ ψυχή μου τὸν Κύρι
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δού
Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγ

Κεφ.

Ἐν ταῖς ἡμέραις ἐκείναις, σταθεὶς ὁ Πέτ
Ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ
αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι, καὶ οἱ κατοι κοῦν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

λὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. Οὐ γὰρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ Προφήτου Ἰωήλ· Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, (λέγει ὁ Θεὸς), ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. Καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· ὁ ἥλιος μετασταφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.

ΤΗ ΤΡΙΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Εὐαγγέλιον Λειτουργίας.

Ἠθηνὸν Ε

Ἐκ τοῦ κατὰ Λουκᾶν. (ΚΔ! 12—35)

Τῇ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε πρὸς ἑαυτὸν, θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην, ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς· καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς. Τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν. Σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπον αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ. Ὅπως τε παρέδωκαν αὐτὸν οἱ Ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις· τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ' οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς. Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ Προφῆται· οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν Προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν κώμην, οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι· Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ' αὐτῶν λαβὼν τὸν ἄρτον, εὐλόγησε, καὶ κλάσας, ἐπεδί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοὺ αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς Ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· Ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος πλ. β'

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσι γενεᾷ καὶ γενεᾷ.

Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.

Πράξεων τῶν Ἀποστόλων τὸ ἀνάγνωσμα.

Κεφ. Β' 22 – 38.

Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν λαόν. Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε, τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. Ὃν ὁ Θεὸς ἀνέστησε, λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. Δαυῒδ γὰρ λέγει εἰς αὐτόν· Προωρώμην τὸ Κύριον ἐνώπιόν μου διαπαντός· ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι· ὅτι οὐκ ἐγκαταλεί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ψεις τὴν ψυχήν μου εἰς Ἅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς· πλη-
ρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. Ἄν-
δρες ἀδελφοὶ ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς
περὶ τοῦ πατριάρχου Δαυῒδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐ
τάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἐστὶν ἐν ἡμῖν ἄχρι τῆς ἡμέ
ρας τ ύτης. Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὄρ
κῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ
τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ
θρόνου αὐτοῦ προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεω
τοῦ Χριστοῦ, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς Ἅ
δου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθορά. Τοῦτον τὸν Ἰη
σοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες ἡμεῖς ἐσμὲν μάρ
τυρες. Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγ
γελίαν τοῦ ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ Πατρὸς
ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Οὐ γὰρ
Δαυῒδ ἀνέβη εἰς τοὺς οὐρανούς· λέγει δὲ αὐτός· Εἶπε
ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕω
ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἀ
σφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι Κύριο
καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε τοῦτον τὸν Ἰησοῦν
ὃν ὑμεῖς ἐσταυρώσατε. Ἀκούσαντες δὲ κατενύγησαν τ
καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς Ἀ
ποστόλους· τί ποιήσωμεν, ἄνδρες ἀδελφοί; Πέτρος δ
ἔφη πρὸς αὐτούς· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστο
ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

ΤΗ ΤΕΤΑΡΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην. (Α΄ 35—51.)

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκει Ἰωάννης, καὶ ἐκ τῶ
μαθητῶν αὐτοῦ δύο. Καὶ ἐμβλέψας τῷ Ἰησοῦ πε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύω μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί, (ὃ λέγεται ἑρμηνευόμενον Διδάσκαλε,) ποῦ μένεις; Λέγει αὐτοῖς· Ἔρχεσθε, καὶ ἴδετε. Ἦλθον καὶ εἶδον ποῦ μένει· καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα δὲ ἦν ὡς δεκάτη. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύω τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Χριστός· καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ Προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναὴλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ εἶδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν μὲ γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ· Ἀμὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀμὴν λέγω ὑμῖν· Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος γ'.

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Β' 38—43.

Ἐν ταῖς ἡμέραις ἐκείναις, εἶπε Πέτρος πρὸς τὸν λαόν· Μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος· ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν· Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει, λέγων· Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν Ἀποστόλων, καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ ταῖς προσευχαῖς. Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν Ἀποστόλων ἐγίνετο.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην. η'.

Κεφ. Γ' 1—15.

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις ἦν ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δαίων. Οὗτος ἦλθε πρὸς τὸν Ἰησοῦν νυκτὸς, καὶ εἶπεν αὐτῷ· Ῥαββὶ, οἴδαμεν, ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. Λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, Πνεῦμά ἐστι. Μὴ θαυμάσῃς, ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. Τὸ πνεῦμα ὅπου θέλει πνεῖ· καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος. Ἀπεκρίθη Νικόδημος, καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις; Ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε· πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια, πιστεύσετε; Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰμὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος δ!

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Γ! 1—8.

Ἐν ταῖς ἡμέραις ἐκείναις, Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ Ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς, τὴν ἐννάτην. Καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ἐβαστάζετο· ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν· ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην, μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν. Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· Βλέψον εἰς ἡμᾶς. Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμοι. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειραι καὶ περιπάτει. Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς, ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά· καὶ ἐξαλλόμενος ἔστη, καὶ περιεπάτει· καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ ἁλλόμενος, καὶ αἰνῶν τὸν Θεόν.

ΤΗ ΠΑΡΑΣΚΕΥΗ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ

Ἐν τῇ Λειτουργίᾳ Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ζ!

Κεφ. Β! 12—22.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναοὺμ, αὐτὸς καὶ ἡ Μήτηρ αὐτοῦ, καὶ οἱ Ἀδελφοὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ, καὶ οἱ Μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας. Καὶ ἐγγὺς ἦν τὸ Πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. Καὶ εὗρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους. Καὶ ποιήσας φραγέλιον ἐκ σχοινίων, πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε πρόβατα καὶ τοὺς βόας· καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε· καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. Ἐμνήσθησαν δὲ οἱ Μαθηταὶ αὐτοῦ, ὅτι γεγραμμένον ἐστίν· «Ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.» Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Εἶπον οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; Ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ Μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο ἔλεγεν αὐτοῖς· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος γ!

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Γ! 11—16.

Ἐν ταῖς ἡμέραις ἐκείναις, κρατοῦντος τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην, συνέδραμε πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. Ἰδὼν δὲ Πέτρος, ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζεται ἐπὶ τούτῳ; ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς παρεδώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν. Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν· τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΔΙΑΚΑΙΝΗΣΙΜΟΥ.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ια!

Κεφ. Γ! 22—33.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ Μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν καὶ ἐβάπτιζεν. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν, ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο, καὶ ἐβαπτίζοντο· Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. Ἐγένετο οὖν ζήτησις ἐκ τῶν Μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ. Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε, οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· Οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε, ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. Ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. Αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστὶ, καὶ ἐκ τῆς γῆς λαλεῖ. Ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος, ἐπάνω πάντων ἐστί. Καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν, ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ.

ΕΝ ΤΩ ΟΡΘΡΩ.

Τὸ Α' Ἑωθινὸν Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον. ριε'.

Κεφ. ΚΗ' 16—20

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ Ὄρος, οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν, πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗ ΤΟΥ ΘΩΜΑ.

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος γ'!

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.
Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφάλ. Ε! 12—20

Ἐν ταῖς ἡμέραις ἐκείναις, διὰ τῶν χειρῶν τῶν Ἀποστόλων ἐγένετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά, (καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος. Τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς· ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. Μᾶλλον δὲ προσετίθεντο, πιστεύοντες τῷ Κυρίῳ, πλήθη ἀνδρῶν τε καὶ γυναικῶν·) ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλὴμ, φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες. Ἀναστὰς δὲ ὁ Ἀρχιερεὺς καὶ ἅπαντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς, εἶπε· Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην. ξε'

Τὸ Θ'. Ἑωθινὸν Εὐαγγέλιον.

Κεφ. Κ'. 19—31.

Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταὶ ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν Δώδεκα ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι Μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ Μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν· ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου, καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σεν ὁ Ἰησοῦς ἐνώπιον τῶν Μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Β΄ ΕΒΔΟΜΑΔΟΣ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Ε΄ 21–32

Ἐν ταῖς ἡμέραις ἐκείναις, εἰσῆλθον οἱ Ἀπόστολοι εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. Παραγενόμενος δὲ ὁ Ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. Οἱ δὲ ὑπηρέται παραγενόμενοι, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ· ἀναστρέψαντες δὲ ἀπήγγειλαν, λέγοντες ὅτι· Τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας ἔξω ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ, ἔσω οὐδένα εὕρομεν. Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ,τε ἱερεὺς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, καὶ οἱ Ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο. Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, λέγων· ὅτι· Ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες, καὶ διδάσκοντες τὸν λαόν. Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγον αὐτούς, οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαὸν, ἵνα μὴ λιθασθῶσιν. Ἀγαγόντες δὲ αὐτοὺς, ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ ἐπηρώτησεν αὐτοὺς ὁ Ἀρχιερεὺς, λέγων· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἰε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Ἀποκριθεὶς δὲ ὁ Πέτρος καὶ οἱ Ἀπόστολοι, εἶπον· Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου· τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ, καὶ ἄφεσιν ἁμαρτιῶν. Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Β ΕΒΔΟΜΑΔΟΣ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ιδ'.

Κεφ. ΣΤ' 14—27.

Τῷ καιρῷ ἐκείνῳ, ἰδόντες οἱ ἄνθρωποι ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς, ἔλεγον· Ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Προφήτης, ὁ ἐρχόμενος εἰς τὸν κόσμον. Ἰησοῦς οὖν γνοὺς, ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν, ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος. Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ Μαθηταὶ αὐτοῦ ἐπὶ τὴν θάλασσαν· καὶ ἐμβάντες εἰς τὸ πλοῖον, ἤρχοντο πέραν τῆς θαλάσσης εἰς Καπερναούμ· Καὶ σκοτία ἤδη ἐγεγόνει, καὶ οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς· ἥ τε θάλασσα, ἀνέμου μεγάλου πνέοντος, διηγείρετο. Ἐληλακότες οὖν ὡς σταδίους εἰκοσιπέντε ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου γινόμενον· καὶ ἐφοβήθησαν. Ὁ δὲ λέγει αὐτοῖς· Ἐγώ εἰμι· μὴ φοβεῖσθε. Ἤθελον οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον· καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς, εἰς ἣν ὑπῆγον. Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσσης, ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ, εἰ μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἓν ἐκεῖνο εἰς ὃ ἀνέβησαν οἱ Μαθηταὶ αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς Μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι οἱ Μαθηταὶ αὐτοῦ ἀπῆλθον· ἄλλα δὲ ἦλθε πλοιάρια ἐκ Τιβεριάδος, ἐγγὺς τοῦ τόπου, ὅπου ἔφαγον τὸν ἄρτον, εὐχαριστήσαντος τοῦ Κυρίου. Ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι ὁ Ἰησοῦς οὐκ ἔστιν ἐκεῖ, οὐδὲ οἱ Μαθηταὶ αὐτοῦ, ἀνέβησαν καὶ αὐτοὶ εἰς τὰ πλοῖα, καὶ ἦλθον εἰς Καπερναοὺμ, ζητοῦντες τὸν Ἰησοῦν. Καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσσης, εἶπον αὐτῷ· Ῥαββί, πότε ὧδε γέγονας; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με οὐχ ὅτι εἴδετε σημεῖα· ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων, καὶ ἐχορτάσθητε. Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ Υἱὸς τοῦ ἀνθρώπου ὑμῖν δώσει· τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν, ὁ Θεός.

ΚΥΡΙΑΚΗ Γ΄ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Ἑωθινὸν Εὐαγγέλιον Δ΄!

Ἐκ τοῦ κατὰ Λουκᾶν. ριβ΄!

Κεφ. ΚΔ΄ 1—12.

Τῇ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ἦλθον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου· καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ, δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς. Τί ζητεῖτε τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· Ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ· Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς Ἑνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐτοῖς, αἳ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος, ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

ΚΥΡΙΑΚΗ Γ' ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ

Ἀπόστολος Λειτουργίας

Προκείμενον, ἦχος δ'

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ' 1—7.

Ἐν ταῖς ἡμέραις ἐκείναις, πληθυνόντων τῶν Μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. Προσκαλεσάμενοι δὲ οἱ Δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. Ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. Ἡμεῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα· πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἐκ τοῦ κατὰ Μάρκον. ξθ !

Κεφ. ΙΕ ! 43—47 ΙΣΤ ! 1—8.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν Κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε. Καὶ γνοὺς ἀπὸ τοῦ Κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν, ἐνείλησε τῇ σινδόνι· καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται. Καὶ διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ Ἡλίου· καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀπο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; καὶ ἀναβλέψασαι θεωροῦσιν, ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν· καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Γ' ΕΒΔΟΜΑΔΟΣ

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Θ΄ 19—31.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ὁ Σαῦλος μετὰ τῶν ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς. Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστὸν, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς τοῦτο ἐληλύθει, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς Ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχεε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ συμβιβάζων, ὅτι οὗτός ἐστιν ὁ Χριστός· Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναὶ, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν. Ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν· παρετήρουν τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι. Λαβόντες δὲ αὐτὸν οἱ Μαθηταὶ νυκτὸς, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν σπυρίδι. Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτὸν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγεν πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς, πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. Καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλὴμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. Ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. Ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ, κατήγαγον εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν. Αἱ μὲν οὖν Ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου Πνεύματος ἐπληθύνοντο.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Γ' ΕΒΔΟΜΑΔΟΣ

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην. νϐ !

Κεφ. ΙΕ! 17—27.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύεται τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε οὗτος ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με, ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. Ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ. Καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, (ὃ ἑρμηνεύεται, ἀπεσταλμένος.) Ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. Οἱ οὖν γείτονες, καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι τυφλὸς ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν ; ἄλλοι ἔλεγον· Ὅτι οὗτός ἐστιν. Ἄλλοι δέ· Ὅτι ὅμοιος αὐτῷ ἐστιν. Ἐκεῖνος ἔλεγεν· Ὅτι ἐγώ εἰμι. Ἔλεγον οὖν αὐτῷ· Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί ; Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπεν· Ἄνθρωπος, λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμοὺς, καὶ εἶπέ μοι, Ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, καὶ νίψαι. Ἀπελθὼν δὲ καὶ νιψάμενος, ἀνέβλεψα. Εἶπον οὖν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος ; Λέγει· Οὐκ οἶδα. Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τὸν ποτὲ τυφλόν. Ἦν δὲ Σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν. Ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθηκέ μοι ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην, καὶ βλέπω. Ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων τινές· Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ. Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν ; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς. Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς ; Ὁ δὲ εἶπεν· Ὅτι προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰου-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέρο

δαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν, καὶ ἀνέβλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος. Καὶ ἠρώτησαν αὐτούς, λέγοντες· Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν ἄρτι βλέπει; Ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς αὐτοῦ, καὶ εἶπον. Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς, ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε· αὐτὸς περὶ αὐτοῦ λαλήσει. Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται. Διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον· Ὅτι ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον, ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ· Δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν· Τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς· Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; Ἐλοιδόρησαν οὖν αὐτόν, καὶ εἶπον· Σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί. Ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ ἐλάλησεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς. Οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. Εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. Ἀπεκρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θησαν, καὶ εἶπον αὐτῷ. Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ. Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπε· Τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη· Πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ.

ΕΝ ΤΩ ΟΡΘΡΩ.

Ἑωθινὸν Εὐαγγέλιον 3-ον.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. ΙΣΤ΄ 9—20.

Ἀναστὰς ὁ Ἰησοῦς πρωΐ πρώτη Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι, ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς Ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν· ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθείς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι, ταῦτα παρακολουθήσει. Ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριος, μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν οὐρανόν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

ΤΗ ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος βαρύς.

Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός.
Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Α΄ 1—12

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα, μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς,καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Καὶ συναυλιζόμενος, παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατέ μου. Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν, λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.Ἀλλὰ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς γῆς. Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν, ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; Οὗτος ὁ Ἰησοῦς, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται πάλιν, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ, Σαββάτου ἔχον ὁδόν.

ΠΕΜΠΤΗ ΤΗΣ ΑΝΑΛΗΨΕΩΣ

Εἰς τὴν Λειτουργίαν

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἑωθινὸν Εὐαγγέλιον. 6ον

Κεφ. ΚΔ! 36—53.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν Μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστέ; Καὶ διατὶ διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖρας μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφήσατέ με, καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς. Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου· Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως καὶ Προφήταις, καὶ Ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξε αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφάς· καὶ εἶπε αὐτοῖς· Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· Καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΣΤ! ΕΒΔΟΜΑΔΟΣ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Κ΄ 7—12.

Ἐν ταῖς ἡμέραις ἐκείναις, συνηγμένων τῶν Μαθητῶν τοῦ κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον· παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. Ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦσαν συνηγμένοι. Καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου, ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω· καὶ ἤρθη νεκρός. Καταβὰς δὲ ὁ Παῦλος, ἐπέπεσεν αὐτῷ, καὶ συμπεριλαβών, εἶπε· Μὴ θορυβεῖσθε

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. Ἀναβὰς δὲ, καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΣΤ'. ΕΒΔΟΜΑΔΟΣ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. μη!

Κεφ. ΙΔ! 10—21.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου πορεύομαι· καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω· ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα· τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρὸν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ Πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ Ζ! ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

ΕΝ ΤΩ ΟΡΘΡΩ

Ἑωθινὸν Εὐαγγέλιον Ι!

Ἐκ τοῦ κατὰ Ἰωάννην

Κεφ. ΚΑ! 1—14.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν Μαθητῶν αὐτοῦ δύω. Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ἤδεισαν οἱ Μαθηταί, ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μήτι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρίσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ Μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, (ἦν γὰρ γυμνὸς), καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι Μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων,) σύροντες τὸ δίκτυον τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων με-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάλων ἑκατὸν πεντήκοντα-τριῶν· καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν Μαθητῶν ἐξετάσαι αὐτὸν, Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστι. Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

ΚΥΡΙΑΚΗ Ζ! ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Προκείμενον, ἦχος δ!

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Κ! 16—17 Κ! 28—36.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἔκρινεν ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γὰρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς Πρεσβυτέρους τῆς Ἐκκλησίας. Ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· Προσέχετε ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιποιήσατο διὰ τοῦ ἰδίου αἵματος. Ἐγὼ γὰρ οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου. Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. Διὸ γρηγορεῖτε, μνημονεύοντες, ὅτι τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον. Καὶ τανῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί, τῷ Θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δομῆσαι, καὶ δοῦναι ὑμῖν κ
νοις πᾶσιν. Ἀργυρίου ἢ χρ
ἐπεθύμησα. Αὐτοὶ δὲ γινώ
καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπ
Πάντα ὑπέδειξα ὑμῖν, ὅτι ο
βάνεσθαι τῶν ἀσθενούντων
τοῦ Κυρίου Ἰησοῦ, ὅτι αὐ
δόναι μᾶλλον, ἢ λαμβάνει
γόνατα αὐτοῦ, σὺν πᾶσιν ο

ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗ Τ

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ἰω

Τῷ καιρῷ ἐκείνῳ, ἐπά
μοὺς αὐτοῦ εἰς τὸν ο
λυθεν ἡ ὥρα· δόξασόν σου
σου δοξάσῃ σε· καθὼς ἔδω
σαρκὸς, ἵνα πᾶν ὃ δέδωκ
αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰ
τὸν μόνον ἀληθινὸν Θεὸν, κ
στόν. Ἐγὼ σὲ ἐδόξασα ἐπ
ωσα, ὃ δέδωκάς μοι ἵνα π
σὺ Πάτερ, παρὰ σεαυτῷ τι
κόσμον εἶναι, παρὰ σοί. Ἐφ
ἀνθρώποις, οὓς δέδωκάς μ
καὶ ἐμοὶ αὐτοὺς δέδωκας,
κασι. Νῦν ἔγνωκαν, ὅτι πά
σοῦ ἐστιν· ὅτι τὰ ῥήματα ἃ
τοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ
σοῦ ἐξῆλθον, καὶ ἐπίστευσ
Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· ο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι. Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς. Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἕν, καθὼς ἡμεῖς. Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ Γραφὴ πληρωθῇ. Νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ζ! ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΨΥΧΩΝ.

Προκείμενον, ἦχος πλ. δ!

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.
Πρὸς σὲ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Πρὸς Θεσσαλονικεῖς Α! Ἐπιστολὴ Παύλου, τὸ Ἀνάγνωσμα.

Κεφ. 4 13—17.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν, ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ, ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΑΒΒΑΤΩ ΠΡΟ ΤΗΣ ΠΕΝΤΗΚΟΣΤΗΣ ΤΩΝ ΨΥΧΩΝ

Εὐαγγέλιον Λειτουργίας. (Ἠθηνὸν ΙΑ)!

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ΚΑ! 14—25.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, καὶ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμενε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, Φιλεῖς με; καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς ἐκτενεῖς τὰς χεῖρας σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν Μαθητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ Μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ', ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Οὗτός ἐστιν ὁ Μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

ΚΥΡΙΑΚΗ Η! ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ξε!

Κεφ. Κ! 19—23.

Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταί, ἰδόντες τὸν Κύριον. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα ἅγιον· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται.

ΚΥΡΙΑΚΗ Η! ΤΗΣ ΑΓ. ΠΕΝΤΗΚΟΣΤΗΣ

Ἐν τῇ Λειτουργίᾳ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος πλ. δ!

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. Β! 1—11.

Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Παντηκοστῆς, ἦσαν ἅπαντες οἱ Ἀπόστολοι ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, ἐκάθισέ τε ἐφ' ἕνα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἕκαστον αὐτῶν· καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη· ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν; Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι Ἰουδαῖοί τε καὶ προσήλυτοι, Κρῆτε καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗ Η! ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.—Εὐαγ. Λειτουργίας.

Κεφ. Ζ! 37—52. Η! 12.

Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς Ἑορτῆς, εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε, λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. (Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.) Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον, ἔλεγον· Οὗτός ἐστιν ἀληθῶς ὁ Προφήτης. Ἄλλοι ἔλεγον· Οὗτός ἐστιν ὁ Χριστός. Ἄλλοι δὲ ἔλεγον· Μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; Οὐχὶ ἡ Γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος Δαυὶδ, καὶ ἀπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βηθλεὲμ τῆς κώμης ὅπου ἦν Δαυῒδ, ὁ Χριστὸς ἔρχεται; Σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας. Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς Ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διατὶ οὐκ ἠγάγετε αὐτόν; Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. Ἀπεκρίθησαν οὖν αὐτοῖς οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε; μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσι. Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν, εἷς ὢν ἐξ αὐτῶν· Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε, ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε, λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς.

ΤΗ ΔΕΥΤΕΡΑ ΤΟΥ ΑΓ. ΠΝΕΥΜΑΤΟΣ.

Προκείμενον, ἦχος πλ. δ'

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Πρὸς σέ, Κύριε κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ε. 8—19.

Ἀδελφοὶ, ὡς τέκνα φωτὸς περιπατεῖτε, (ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ,) δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. Καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν. Τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. Διὸ λέ
γει· Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν
καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκρι
βῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγο
ραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὸ
τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέ
λημα τοῦ Κυρίου. Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐ
στιν, ἀσωτεία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντε
ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄ
δοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ

ΤΗΙ ΔΕΥΤΕΡΑ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ματθαῖον. οε !

Κεφ. ΙΗ! 10—20.

Εἶπεν ὁ Κύριος· Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸ
τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγ
γελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρό
σωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἦλθε γὰρ
ὁ Υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν
δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, κα
πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενήκοντα ἐν
νέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον; Κα
ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ
αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα, τοῖς μ
πεπλανημένοις. Οὕτως οὐκ ἐστι θέλημα ἔμπροσθεν το
Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷ

☛ Σημείωσαι, ὅτι τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, ἀναγινώ
σκεται καθ' ἡμέραν μὲν, ἕως τέλους τῆς ἑνδεκάτης Ἑβδομάδος· ἐ
δὲ ταῖς ἑφεξῆς, τὸ Σάββατον μόνον καὶ τὴν Κυριακήν· τὰς δὲ λοι
πὰς τῆς Ἑβδομάδος ἡμέρας ἀναγινώσκεται ἐκ τῶν περικοπῶν το
κατὰ Μάρκον Εὐαγγελίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ· Ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ Τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν δὲ λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συγηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Α! ΕΒΔ. ΜΕΤΑ ΤΗΝ ΠΕΝΤΗΚ.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 7—12.

Ἀδελφοί, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. Μάρτυς γάρ μου ἐστὶν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου, ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι, πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος, εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. Ἐπιποθῶ γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν πνευματικόν, εἰς τὸ στηριχθῆναι ὑμᾶς. τοῦτο δέ ἐστι, συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν ἀλλήλοις πίστεως, ὑμῶν τε καὶ ἐμοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΑΒΒΑΤΩ Α! ΕΒΔ. ΜΕΤΑ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Ε. 42—48

Εἶπεν ὁ Κύριος· Τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Ἠκούσατε, ὅτι ἐρρέθη, Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου· ἐγὼ δὲ λέγω ὑμῖν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς, ὅπως γένησθε υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς· ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; Καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν μόνον, τὶ περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν; Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

ΚΥΡΙΑΚΗ ΠΡΩΤΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ

Ἐ τῷ Ὄρθρῳ, Τὸ Α! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 23.

Προκείμενον, ἦχος πλ. δ.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΑ. 33—40 ΙΒ 1—2

Ἀδελφοὶ, οἱ Ἅγιοι πάντες διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οἳ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς. ἐλιθάσθησαν, ἐπρίσθησαν ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, [ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος·] ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι. Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν.

ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΝΤΩΝ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Ι. 32—33. 37—38. Κεφ. ΙΘ. 27—30.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὅς τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· Ὅς τις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὁ φιλῶν Πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Ἰδοὺ, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μῖν; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι
μεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅτα
καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, κα
θίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώ
δεκα φυλὰς τοῦ Ἰσραήλ. Καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας, ἢ
δελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τ
κνα, ἢ ἀγροὺς, ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασ
ονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Πολλοὶ
δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Β! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ. 19—26

Ἀδελφοί, οἴδαμεν, ὅτι ὅσα ὁ νόμος λέγει, τοῖς ἐ
τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ, καὶ ὑπ
δικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ. Διότι ἐξ ἔργω
νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· δ
γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας. Νυνὶ δὲ χωρὶς νόμο
δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τ
νόμου καὶ τῶν Προφητῶν. δικαιοσύνη δὲ Θεοῦ διὰ
στεως Ἰησοῦ Χριστοῦ, εἰς πάντας καὶ ἐπὶ πάντας το
πιστεύοντας· οὐ γάρ ἐστι διαστολή. Πάντες γὰρ ἥμα
τον, ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ· δικαιούμενοι δ
ρεὰν τῇ αὐτοῦ χάριτι δια τῆς ἀπολυτρώσεως τῆς ἐν Χ
στῷ Ἰησοῦ· ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς
στεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύν
αὐτοῦ, διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτω
ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύσ
αὐτοῦ, ἐν τῷ νῦν καιρῷ· εἰς τὸ εἶναι αὐτὸν δίκαιον, κ
δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Β! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Ζ. 1—8.

Εἶπεν ὁ Κύριος· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε· καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν. Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; Ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου· Ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου· καὶ ἰδοὺ, ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. Μὴ δότε τὸ ἅγιον τοῖς κυσὶ, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μή ποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς. Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ

Ἐν τῷ Ὀρθρῳ τὸ Β! Ἑωθινὸν Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Μάρκον

Κεφ. ΣΤ. 1—8

Διαγενομένου τοῦ Σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη, ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων, ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ Ἡλίου· καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸ λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι, θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε, Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ

Προκείμενον, Ἦχος Α!

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς
Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β. 10—16

Ἀδελφοὶ, δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθὸν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται, (οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσὶ νόμος· οἵτινες ἐνδείκνυται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων, ἢ καὶ ἀπολογουμένων) ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων, κατὰ τὸ εὐαγγέλιόν μου, διὰ Ἰησοῦ Χριστοῦ.

ΚΥΡΙΑΚΗ ΔΕΥΤΕΡΑ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Δ. 18—23

Τῷ καιρῷ ἐκείνῳ περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς Σίμω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

να τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· (ἦσαν γὰρ ἁλιεῖς)· καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς Βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Γ' ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ζ. 28—31 Κ' Δ' 1—3

Ἀδελφοί, λογιζόμεθα πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου. Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν. Ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο! ἀλλὰ νόμον ἱστῶμεν. Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. Τί γὰρ ἡ Γραφὴ λέγει; Ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ
Ἐκ τοῦ κα

Εἶπεν ὁ Κύριος· Πᾶς ὅς
τούτους, καὶ ποιεῖ αὐτοὺ
νίμῳ, ὅς τις ᾠκοδόμησε τὴν
καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλ
σαν οἱ ἄνεμοι, καὶ προσέπε
ἔπεσε· τεθεμελίωτο γὰρ ἐπ
κούων μου τοὺς λόγους το
ὁμοιωθήσεται ἀνδρὶ μωρῷ,
αὐτοῦ ἐπὶ τὴν ἄμμον· καὶ κ
ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄ
οἰκίᾳ ἐκείνῃ· καὶ ἔπεσε, κα
Καὶ ἐγένετο, ὅτε συνετέλε
τούτους, ἐξεπλήσσοντο οἱ ὄ
γὰρ διδάσκων αὐτοὺς ὡς ἐ
Γραμματεῖς. Καταβάντι δὲ
λούθησαν αὐτῷ ὄχλοι πολλ
προσεκύνει αὐτῷ, λέγων· Κ
καθαρίσαι. Καὶ ἐκτείνας τὴ
σοῦς, λέγων· Θέλω, καθαρ
σθη αὐτοῦ ἡ λέπρα. Καὶ
μηδενὶ εἴπῃς· ἀλλὰ ὕπαγε,
προσένεγκε τὸ δῶρον, ὃ πρ
ριον αὐτοῖς.

ΚΥΡΙΑΚΗ
Ἐν τῷ Ὄρθρῳ τὸ Γ! Ἑωθ

Προκείμενο
Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύρι
Πρὸς Ῥωμαίους Ἐπιστολῆ

Ἀδελφοὶ, δικαιωθέντες ἐ
πρὸς τὸν Θεὸν διὰ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην, ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν. Ἔτι γὰρ, Χριστὸς, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

ΚΥΡΙΑΚΗ ΤΡΙΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΣΤ. 22—33

Εἶπεν ὁ Κύριος· Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμα σου σκοτεινὸν ἔσται· εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος πόσον; Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ Μαμμωνᾷ. Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; Τίς ἐξ ὑμῶν μεριμνῶν δύναται προσθῆναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Καὶ περὶ ἐνδύματος, τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; Μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν; ἢ, Τί πίωμεν; ἢ, Τί περιβαλώμεθα; πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Δ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 11—17.

Ἀδελφοί, οὕτως ὑμεῖς λογίζεσθε, ἑαυτοὺς νεκροὺς μὲν εἶνε τῇ ἁμαρτίᾳ ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ· μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ· ἀλλὰ παραστήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν. Τί οὖν; ἁμαρτήσομεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο! Οὐκ οἴδατε, ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; Χάρις δὲ τῷ Θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπακούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Δ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Η. 14—23

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει αὐτοῖς. Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς· καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν. Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. Καὶ προσελθὼν εἷς Γραμματεὺς, εἶπεν αὐτῷ· Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Ἕτερος δὲ τῶν Μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς, θάψαι τοὺς ἑαυτῶν νεκρούς. Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ

Τὸ Δ! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 28

Προκείμενον, ἦχος γ!

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε.
Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ! 18—23.

Ἀδελφοί, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῇ δικαιοσύνῃ. Ἀνθρώπινον λέγω, διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν· ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. Ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων, θάνατος. Νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον. Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος· τὸ δὲ χάρισμα τοῦ Θεοῦ, ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

ΚΥΡΙΑΚΗ ΤΕΤΑΡΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. Η! 5—13

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ἰησοῦ εἰς Καπερναοὺμ, προσῆλθεν αὐτῷ Ἑκατόνταρχος, παρακαλῶν αὐτὸν, καὶ λέγων· Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δεινῶς βασανιζόμενος. Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς. Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. Καὶ ἀποκριθεὶς ὁ Ἑκατόνταρχος, ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰαθήσεται ὁ παῖς μου Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον· Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ Ἑκατοντάρχῳ· Ὕπαγε, καὶ ὡς ἐπίστευσας, γενηθήτω σοι. Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ Ε. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Π ὑλου τὸ Ἀνάγνωσμα.

Κεφ 11! 14—21

Ἀδελφοί, ὅσοι πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ. Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν· Ἀββᾶ, ὁ πατήρ. Αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ. Εἰ δὲ τέκνα, καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συνκληρονόμοι δὲ Χριστοῦ· εἴπερ σημπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Λογίζομαι, γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα· ἐπ' ἐλπίδι, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ε! ΕΒΔΟΜΑΔΟΣ.

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Θ! 9—13

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ, πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ, καὶ τοῖς Μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς Μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει ὁ Διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ μάθετε τί ἐστιν. Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ Ε! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 13

Πρὸ εἰμένον, ἦχος δ!

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας
Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ι! 1—13

Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραὴλ ἐστιν εἰς σωτηρίαν. Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἀγνοοῦνες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ' ὑπετάγησαν. Τέλος γὰρ νόμου Χριστὸς, εἰς δικαιοσύνην παντὶ τῷ πι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στεύοντι. Μωσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· Μὴ εἴπῃς ἐν καρδίᾳ σου. Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; τουτέστι, Χριστὸν καταγαγεῖν· ἢ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον; τουτέστι, Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. Ἀλλὰ τί λέγει; Ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τουτέστι, τὸ ῥῆμα τῆς πίστεως, ὃ κυρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν.

ΚΥΡΙΑΚΗ ΠΕΜΠΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Η! 28—34 Θ. 1.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. Καὶ ἰδοὺ ἔκραξαν, λέγοντες. Τί ἡμῖν καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. Οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες· Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ εἶπεν αὐτοῖς. Ὑπάγετε. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ, ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων. Καὶ ἰδοὺ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν. Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΣΤ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Θ. 1--5

Ἀδελφοὶ, ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, (συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι ἁγίῳ) ὅτι λύπη μοί ἐστι μεγάλη, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσί Ἰσραηλῖται· ὧν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΣΤ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Θ. 18--26

Τῷ καιρῷ ἐκείνῳ, ἄρχων τις προσελθὼν τῷ Ἰησοῦ, προσεκύνει αὐτῷ, λέγων· Ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν, ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν, καὶ ζήσεται. Καὶ ἐγερθεὶς ὁ Ἰησοῦς, ἠκολούθησεν αὐτῷ, καὶ οἱ Μαθηταὶ αὐτοῦ. Καὶ ἰδοὺ, γυνὴ αἱμορρόουσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ. Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. Ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν, εἶπε· Θάρσει, θύγατερ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡ πίστις σου σέσωκέ σε. Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος, καὶ ἰδὼν τοὺς αὐλητὰς, καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς· Ἀναχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ. Ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. Καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

ΚΥΡΙΑΚΗ ΕΚΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ ΣΤ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 53.

Προκείμενον, ἦχος πλ. δ!

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος,

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ ΙΒ! 6—14

Ἀδελφοὶ, ἔχοντες χαρίσματα κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα, εἴτε προφητείαν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως, εἴτε διακονίαν ἐν τῇ διακονίᾳ, εἴτε ὁ διδάσκων ἐν τῇ διδασκαλίᾳ εἴτε ὁ παρακαλῶν ἐν τῇ παρακλήσει, ὁ μεταδιδοὺς ἐν ἁπλότητι, ὁ προϊστάμενος ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι. Ἡ ἀγάπη ἀνυπόκριτος. Ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ ἀγαθῷ. Τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι. Τῇ τιμῇ ἀλλήλους προηγούμενοι. Τῇ σπουδῇ μὴ ὀκνηροί. Τῷ πνεύματι ζέοντες. Τῷ Κυρίῳ δουλεύοντες. Τῇ ἐλπίδι χαίροντες. Τῇ θλίψει ὑπομένοντες. Τῇ προσευχῇ προσκαρτεροῦντες. Ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες. Τὴν φιλοξενίαν διώκοντες. Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΕΚΤΗ

'Εκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Θ. 1—8

Τῷ καιρῷ ἐκείνῳ, ἐμβὰς ὁ 'Ιησοῦς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Καὶ ἰδοὺ, προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. καὶ ἰδὼν ὁ 'Ιησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Καὶ ἰδοὺ, τινὲς τῶν Γραμματέων εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ. Καὶ ἰδὼν ὁ 'Ιησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· 'Ινα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν τοῖς καρδίαις ὑμῶν; Τί γάρ ἐστιν εὐκολώτερον, εἰπεῖν· 'Αφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειρε καὶ περιπάτει; 'Ινα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίαις· (τότε λέγει τῷ παραλυτικῷ). 'Εγερθεὶς ἆρον σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκον σου. Καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ Ζ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς 'Ρωμαίους 'Επιστολῆς Παύλου τὸ 'Ανάγνωσμα.

Κεφ. ΙΒ. 1—3

Ἀδελφοὶ, παρακαλῶ ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. καὶ μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον. Λέγω δὲ διὰ τῆς χάριτος τῆς δο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θείσης μοι, παντὶ τῷ ὄντι ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ Θεὸς ἐμέρισε μέτρον πίστεως.

ΤΩ ΣΑΒΒΑΤΩι ΤΗΣ Ζ! ΕΒΔΟΜΑΔΟΣ·

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Ι 37—42 ΙΑ. 1.

Εἶπεν ὁ Κύριος· Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστιμου ἄξιος. Καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται. Καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον, εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα Μαθηταῖς αὐτοῦ, μετέβη ἐκεῖθεν, τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗι

Ἐν τῷ Ὄρθρῳ τὸ Ζ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 40

Προκείμενον, ἦχος πλ. β!

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. Πρὸς σὲ, Κύριε κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΕ 1—7

Ἀδελφοὶ, ὀφείλομεν ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκειν. Ἕκαστος γὰρ ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰ τὸ ἀγαθὸν πρὸς οἰκοδομήν. Καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται Οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν. Ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ἡμᾶς εἰς δόξαν Θεοῦ.

ΚΥΡΙΑΚΗ ΕΒΔΟΜΗ.

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Θ' 27—35

Τῷ καιρῷ ἐκείνῳ, παράγοντι τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύο τυφλοί, κράζοντες, καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, Υἱὲ Δαυΐδ. Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ· Ναί, Κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Ὁρᾶτε μηδεὶς γινωσκέτω. Οἱ δὲ ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν, δαιμονιζόμενον. Καὶ ἐκβληθέντος τοῦ δαιμονίου, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν οἱ ὄχλοι, λέγοντες· Ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. Οἱ δὲ Φαρισαῖοι ἔλεγον, Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς Συναγωγαῖς αὐτῶν, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Η! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΓ. 1—10.

Ἀδελφοί, πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γάρ ἐστιν ἐξουσία εἰμὴ ἀπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι, ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. Ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται. Οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων ἀλλὰ τῶν κακῶν. Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς· Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. Διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον, τὸν φόρον· τῷ τὸ τέλος, τὸ τέλος· τῷ τὸν φόβον, τὸν φόβον· τῷ τὴν τιμὴν, τὴν τιμήν. Μηδενὶ μηδὲν ὀφείλετε, εἰμὴ τὸ ἀγαπᾶν ἀλλήλους· ὁ γὰρ ἀγαπῶν τὸν ἕταιρον, νόμον πεπλήρωκε. Τὸ γάρ, Οὐ μοιχεύσεις, Οὐ φονεύσεις, Οὐ κλέψεις, Οὐ ψευδομαρτυρήσεις, Οὐκ ἐπιθυμήσεις, καὶ εἴτις ἑτέρα ἐντολὴ, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται, πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ Η. ΕΒΔΟΜΑΔΟΣ

'Εκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΒ. 30—37

Εἶπεν ὁ Κύριος· 'Ο μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστί, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει. Διὰ τοῦτο λέγω ὑμῖν· Πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. Ἢ ποιήσατε τὸ δένδρον καλὸν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρὸν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. 'Ο ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.

ΚΥΡΙΑΚΗ ΟΓΔΟΗ

'Εν τῷ 'Ορθρῳ τὸ Η! 'Εωθινὸν Εὐαγγέλιον Σελὶς, 46.

Προκείμενον, ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
'Ενέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεοῦ.

Πρὸς Κορινθίους Α! 'Επιστολῆς Παύλου τὸ 'Ανάγνωσμα.

Κεφ. Α. 10—17

Ἀδελφοὶ, παρακαλῶ ὑμᾶς διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ, καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῆς Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· Ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰμὴ Κρίσπον καὶ Γάϊον, ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι· οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

ΚΥΡΙΑΚΗ ΟΓΔΟΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΔ΄ 14—22

Τῷ καιρῷ ἐκείνῳ, εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτούς, καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν. Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε, εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. Ὁ δὲ εἶπε· Φέρετέ μοι αὐτοὺς ὧδε. Καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανόν, εὐλόγησε· καὶ κλάσας, ἔδωκε τοῖς Μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ Μαθηταὶ τοῖς ὄχλοις. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περισσεῦον τῶν κλασμάτων, δώδεκα κοφίνους πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων. Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς Μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Θ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΔ! 6—9

Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. Ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκωμεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν τοῦ Κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, καὶ ἀνέζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ Θ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΕ! 32—39.

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς Μαθητὰς αὐτοῦ, εἶπεν αὐτοῖς. Σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέρας τρεῖς προσμένουσί μοι, καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μή ποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. Καὶ λέγουσιν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι, ὥστε χορτάσαι ὄχλον τοσοῦτον; Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον· Ἑπτὰ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὀλίγα ἰχθύδια. Καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν. Καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας ἔκλασε, καὶ ἔδωκε τοῖς Μαθηταῖς αὐτοῦ. οἱ δὲ Μαθηταὶ τῷ ὄχλῳ. Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων, ἑπτὰ σπυρίδας πλήρεις. Οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες, χωρὶς γυναικῶν καὶ παιδίων. Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ πλοῖον, καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

ΚΥΡΙΑΚΗ ΕΝΝΑΤΗ

Ἐν τῷ Ὄρθρῳ, Τὸ Θ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 25.

Προκείμενον, ἦχος πλ. δ.

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ. 9—17

Ἀδελφοί, Θεοῦ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός. Εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει. Εἴ τινος τὸ ἔργον μένει, ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός. Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵ τινές ἐστε ὑμεῖς.

ΚΥΡΙΑΚΗ ΕΝΝΑΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΔ. 22—34

Τῷ καιρῷ ἐκείνῳ, ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς Μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι· Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ. Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς, ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης. Καὶ ἰδόντες αὐτὸν οἱ Μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα, ἐταράχθησαν, λέγοντες· Ὅτι φάντασμά ἐστι· καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Θερσεῖτε· ἐγώ εἰμι· μὴ φοβεῖσθε. Ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος, εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. Ὁ δὲ εἶπεν· Ἐλθέ. Καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος, περιεπάτησεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων· Κύριε, σῶσόν με. Εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ· Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος. Οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ι. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΕ. 30—33.

Ἀδελφοί, παρακαλῶ ὑμᾶς διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἵνα ἡ διακονία μου ἡ εἰς Ἱερουσαλὴμ εὐπρόσδεκτος γένηται τοῖς ἁγίοις· ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς διὰ θελήματος Θεοῦ, καὶ συναναπαύσωμαι ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Ι. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΖ. 24—27 ΙΗ. 1—4

Τῷ καιρῷ ἐκείνῳ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον Ὁ Διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; Λέγει· Ναί. Καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοι δοκεῖ, Σίμων; Οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη, ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; Λέγει αὐτῷ ὁ Πέτρος· Ἀπὸ τῶν ἀλλοτρίων. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἄραγε, ἐλεύθεροί εἰσιν οἱ υἱοί. Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτοὺς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθῦν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. Ἐν ἐκείνῃ τῇ ὥρᾳ, προσῆλθον οἱ Μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες· Τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; Καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅς τις οὖν ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ 1 Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 56.

Προκείμενον, ἦχος α!

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ. 9—16

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν· καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα· Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΖ. 14—23

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ, γονυπετῶν αὐτῷ, καὶ λέγων· Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται, καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ. Καὶ προσήνεγκα αὐτὸν τοῖς Μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; Φέρετέ μοι αὐτὸν ὧδε. Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον, καὶ ἰάθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν, εἶπον· Διατὶ ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Διὰ τὴν ἀπιστίαν ὑμῶν. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. Τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ· Ἀναστρεφομένων δὲ αὐτῶν ἐν τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων· καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΑ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Α. 3—9.

Ἀδελφοί, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν, ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· ὅτι ἐν παντὶ ἐπλου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν· ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΑ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ ΙΘ. 3—12

Τῷ καιρῷ ἐκείνῳ, προσῆλθον οἱ Φαρισαῖοι τῷ Ἰησοῦ, πειράζοντες αὐτὸν, καὶ λέγοντες αὐτῷ· Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Οὐκ ἀνέγνωτε, ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς; καὶ εἶπεν· Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύω εἰς σάρκα μίαν· ὥστε οὐκ ἔτι εἰσὶ δύω, ἀλλὰ σὰρξ μία. Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. Λέγουσιν αὐτῷ. Τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου, καὶ ἀπολῦσαι αὐτήν; Λέγει αὐτοῖς. Ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτω. Λέγω δὲ ὑμῖν, ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, εἰ μὴ ἐπὶ πορνείᾳ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας, μοιχᾶται. Λέγουσιν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικὸς, οὐ συμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φέρει γαμῆσαι. Ὁ δὲ εἶπεν αὐτοῖς· Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται. Εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν, χωρείτω.

ΚΥΡΙΑΚΗ ΕΝΔΕΚΑΤΗι

Ἐν τῷ Ὄρθρῳ, τὸ ΙΑ! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 60.

Προκείμενον, ἦχος 6!

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος
Παιδεύων ἐπέδευσέ με ὁ Κύριος.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Θ! 2—12.

Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ. Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν, αὕτη ἐστί· μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ ποιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν, γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; Τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; Ἢ τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; Ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; Ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· Οὐ φιμώσεις βοῦν ἀλοῶντα. Μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; Ἢ δι' ἡμᾶς πάντως λέγει; Δι' ἡμᾶς γὰρ ἐγράφη· ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι. Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγομεν, ἵνα μή ἐγκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.

ΚΥΡΙΑΚΗι ΕΝΔΕΚΑΤΗι

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΗ' 23—35

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι ὅ,τι ὀφείλεις. Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα ἀποδώσω σοι. Ὁ δὲ οὐκ ἤθελεν· ἀλλ' ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα. Τότε προσκαλεσάμενος αὐτὸν ὁ κύριος αὐτοῦ, λέγει αὐτῷ· Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπεὶ παρεκάλεσάς με· οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα; Καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ, πᾶν τὸ ὀφειλόμενον αὐτῷ. Οὕτω καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΒ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 26—31 Β. Ι—5.

Ἀδελφοί, βλέπετε τὴν κλῆσιν ὑμῶν, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ. καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ· τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ, Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα, καθὼς γέγραπται· Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον. Καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. Καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩι ΤΗΣ 1Β. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Κ. 29—34

Τῷ καιρῷ ἐκείνῳ, ἐκπορευομένου τοῦ Ἰησοῦ ἀπὸ Ἰεριχὼ, ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ, δύω τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, Υἱὸς Δαυΐδ. Ὁ δε ὄχλος ἐπετίμησεν αὐτοῖς, ἵνα σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραζον, λέγοντες· Ἐλέησον ἡμᾶς, Κύριε, Υἱὸς Δαυΐδ. Καὶ στὰς ὁ Ἰησοῦς, ἐφώνησεν αὐτοὺς, καὶ εἶπε· Τί θέλετε ποιήσω ὑμῖν; Λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. Σπλαγνισθεὶς δὲ ὁ Ἰησοῦς, ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν· καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοὶ, καὶ ἠκολούθησαν αὐτῷ.

ΚΥΡΙΑΚΗι ΔΩΔΕΚΑΤΗι

Ἐν τῷ Ὄρθρῳ, Τὸ Α! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 23

.....

Προκείμενον, ἦχος γ.

Ψάλατε τῷ Θεῷ ἡμῶν ψάλατε.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ ΙΕ! 1—11

Ἀδελφοὶ, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι οὗ καὶ σώζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν, εἰ κατέχετε· ἐκτὸς εἰμὴ εἰκῆ ἐπιστεύσατε. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ περέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφὰς καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ, κατὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰς Γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς Ἀποστόλοις πᾶσιν· ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί. Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Χάριτι δὲ Θεοῦ εἰμὶ ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. Εἴτε οὖν ἐγὼ, εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν, καὶ οὕτως ἐπιστεύσατε.

ΚΥΡΙΑΚΗ ΔΩΔΕΚΑΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΘ 16—26

Τῷ καιρῷ ἐκείνῳ, νεανίσκος τις προσῆλθε τῷ Ἰησοῦ, γονυπετῶν αὐτὸν, καὶ λέγων· Διδάσκαλε ἀγαθὲ, τὶ ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; Ὁ δὲ εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός. Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. Λέγει αὐτῷ· Ποίας; Ὁ δὲ Ἰησοῦς εἶπε· Τό· Οὐ φονεύσεις· Οὐ μοιχεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα· καί· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Λέγει αὐτῷ ὁ νεανίσκος· Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ; Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θυσαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι. Ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον, ἀπῆλθεν λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς Μαθηταῖς αὐτοῦ· Ἀμὴν λέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας
ΒΑΣΙΛΕΙΟΣ Χρ. ΓΚΑΛΙΤΣΟΣ

γω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Ἀκούσαντες δὲ οἱ Μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· Τίς ἄρα δύναται σωθῆναι; Ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΓ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Β. 6—9

Ἀδελφοί, σοφίαν λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν· ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀλλὰ, καθὼς γέγραπται· Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΓ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΒ! 15—22.

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς Μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπὲ οὖν ἡμῖν τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι, ἢ οὔ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε· Τί με πειράζετε, ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ· Καίσαρος. Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν, ἀπῆλθον.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΤΡΙΤΗ

Ἐν τῷ Ὀρθρῳ τὸ Β. Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 69.

Προκείμενον, ἦχος δ!

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΣ. 13—24

Ἀδελφοὶ, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γενέσθω. Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς Ἁγίοις ἔταξαν ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ Ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα μαρὰν ἀθά. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ Ἀμήν.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΤΡΙΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΑ' 33—42.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅς τις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ, ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ Κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς· καὶ τὸν ἀμπελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς ἐν καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῖς Γραφαῖς. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΔ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Δ. 1—5.

Ἀδελφοί, οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους μυστηρίων Θεοῦ. Ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με, Κύριός ἐστιν. Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΙΔ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΓ! 1—12

Τῷ καιρῷ ἐκείνῳ, ἐλάλησεν ὁ Ἰησοῦς τοῖς ὄχλοις, καὶ τοῖς Μαθηταῖς αὐτοῦ, λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν, μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. Πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖ
ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, κα
μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων, αὐτῶν. Φιλοῦ
σί τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρω
τοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς
ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων
Ραββί, Ῥαββί. Ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββί· εἷς γάρ
ἐστιν ἡμῶν ὁ καθηγητὴς, ὁ Χριστός· πάντες δὲ ὑμεῖς
ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς
γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς
Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθη
γητὴς, ὁ Χριστός. Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διά
κονος. Ὅς τις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ
ὅς τις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗι ΤΕΤΑΡΤΗι

Ἐν τῷ Ὄρθρῳ τὸ Γ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 51

.....

Προκείμενον, ἦχος πλ. ά!

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.

Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α! 21—24. Β. 1—4.

Ἀδελφοὶ, ὁ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, κα
χρίσας ἡμᾶς, ὁ Θεός· ὁ καὶ σφραγισάμενος ἡμᾶς
καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρ
δίαις ἡμῶν. Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμα
ἐπὶ τὴν ἐμὴν ψυχὴν, ὅτι φειδόμενος ὑμῶν οὐκ ἔτι ἦλ
θον εἰς Κόρινθον· οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστε
ως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στήκατε. Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐλθεῖν ἐν λύπῃ πρὸς ὑμᾶς· Εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν. Ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε, ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΤΕΤΑΡΤΗι

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΒ. 1—14.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅς τις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους· καὶ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων. Εἴπατε τοῖς κεκλημένοις· Ἰδοὺ, τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. Οἱ δὲ ἀμελήσαντες, ἀπῆλθον· ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ· οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν. Ἀκούσας δὲ ὁ βασιλεὺς ἐκεῖνος, ὠργίσθη· καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. Τότε λέγει τοῖς δούλοις αὐτοῦ· Ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι. Πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους. Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς, συνήγαγον πάντας ὅσους εὗρον, πονηροὺς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. Εἰσελθὼν δὲ ὁ βασιλεὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου· καὶ λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΕ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Δ. 17—21 Ε. 1—5.

Ἀδελφοί, διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὅς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ Ἐκκλησίᾳ διδάσκω. Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. Ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν. Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει. Τί θέλετε; Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος; Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας; Ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν, τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐντῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, παραδοῦναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΙΕ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΔ. 1—13

Τῷ καιρῷ ἐκείνῳ, προσῆλθον οἱ Μαθηταὶ τῷ Ἰησοῦ, ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ βλέπετε πάντα ταῦτα; Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ μὴ καταλυθήσεται. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγὼ εἰμὶ ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ οὔπω ἐστὶ τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ, καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοὶ, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους. Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗι ΠΕΜΠΤΗι

Ἐν τῷ Ὄρθρῳ, τὸ Δ! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 28.

Προκείμενον, ἦχος πλ. 6!

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σὲ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ. 6—15.

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν· ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ. Ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον] παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν. Ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ δὲ ζωὴ ἐν ὑμῖν. Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον. Ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν· εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον Ἰησοῦν, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ, καὶ παραστήσει σὺν ὑμῖν. Τὰ γὰρ πάντα δι' ὑμᾶς, ἵνα ἡ χάρις πλεονάσασα. διὰ τῶν πλειόνων τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν τοῦ Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΠΕΜΠΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΒ! 35—46

Τῷ καιρῷ ἐκείνῳ, Νομικός τις προσῆλθε τῷ Ἰησοῦ πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ. Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου. αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· Τοῦ Δαυΐδ. Λέγει αὐτοῖς· Πῶς οὖν Δαυΐδ, ἐν πνεύματι, Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ οὖν Δαυΐδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἠδύνατο αὐτῷ ἀποκριθῆναι λόγον· οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΣΤ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ι. 23—28

Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ· Τοῦτο εἰδωλόθυτόν ἐστι· μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΣΤ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΔ. 34—37 42—44.

Εἶπεν ὁ Κύριος· Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ Ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης, ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗι ΕΚΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ Ε! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 13

Προκείμενον, ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεοῦ.

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. ΣΤ! 1—10

Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν, μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. Λέγει γάρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυρίῳ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἰδοὺ, νῦν καιρὸς εὐπρόσδεκτος· ἰδοὺ, νῦν ἡμέρα σωτηρίας. Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς· ὡς ἀγνοούμενοι, καὶ ἐπιγνωσκόμενοι· ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοὶ, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗι ΕΚΤΗ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΕ. 14—30

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύω, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. Ὡσαύτως καὶ ὁ τὰ δύω, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύω. Ὁ δὲ τὸ ἕν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λόγον. Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐν αὐτοῖς. Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύω τάλαντα λαβὼν, εἶπε· Κύριε, δύω τάλαντά μοι περέδωκας· ἴδε, ἄλλα δύω τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· Κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ἤδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ, ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. (Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ.) Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΖ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΔ! 20—25.

Ἀδελφοὶ, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐν τῷ νόμῳ γέγραπται· Ὅτι ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις, λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ οὕτως εἰσακούσονταί μου, λέγει Κύριος. Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. Ἐὰν οὖν συνέλθῃ ἡ Ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ, καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; Ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστιν.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΖ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΕ! 1—13.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί. Αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον. Αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μὲ τὰ τῶν λαμπάδων αὐτῶν· Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέγω ὑμῖν· οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΒΔΟΜΗ

Ἐν τῷ Ὄρθρῳ τὸ ΣΤ. Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 53.

Προκείμενον, ἦχος πλ. δ!

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός,

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 16—18 Ζ. 1

Ἀδελφοί, ὑμεῖς ἐστε ναὸς Θεοῦ ζῶντος, καθὼς εἶπεν ὁ Θεός. Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς· καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοὶ, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗι ΕΒΔΟΜΗι ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ.

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΙΕ΄ 21—28

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος, Καὶ ἰδοὺ, γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε, Υἱὲ Δαυῒδ, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἡ δὲ ἐλθοῦσα προσεκύνει αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις. Ἡ δὲ εἶπε· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν· Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΗ΄ ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. ΙΕ. 39—45

Ἀδελφοὶ, οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν σὰρξ ἀνθρώπων, ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν. Καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπου-

☞ Σημ. Τὸ περὶ τῆς Χαναναίας παρὸν Εὐαγγέλιον οὐκ ἀναγινώσκεται ἐν τῇ σειρᾷ τῶν Κυριακῶν τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, εἰμὴ μόνον ὅταν συμβῇ τὸ Πάσχα 22 Μαρτίου. Ἀναγινώσκεται ὅμως πολλάκις τῇ πρὸ τοῦ Τελώνου καὶ Φαρισαίου Κυριακῇ, ὅταν γίνεται τὸ Πάσχα ὄψιμον ὡς φαίνεται εἰς τὰ ἐν τῷ τέλει Πασχάλια.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. Οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ· σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ γέγραπται· Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΗ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Α.

Κεφ. Δ. 31—36.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς Καπερναοὺμ, πόλιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς Σάββασι. Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. Καὶ ἐν τῇ Συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ, λέγων· Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ. Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς· λέγων· Φιμώθητι, καὶ ἔξελθε ἐξ αὐτοῦ. Καὶ ῥίψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον, ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελλάλουν πρὸς ἀλλήλους, λέγοντες· Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται;

☛ Τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον ἀναγιγώσκεται καθ' ἑκάστην μέχρι τέλους τῆς δωδεκάτης ἑβδομάδος· μετὰ ταῦτα δὲ ἀναγινώσκεται μόνον κατὰ Σάββατον καὶ Κυριακήν, διότι εἰς τὰς λοιπὰς ἡμέρας ἀναγινώσκονται περικοπαὶ τοῦ κατὰ Μάρκον Εὐαγγελίου, ὡς φαίνεται ἐν τῇ σειρᾷ τῶν Εὐαγγελίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΟΓΔΟΗι

Ἐν τῷ Ὄρθρῳ, τὸ Ζ! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 40.

.....

Προκείμενον, ἦχος πλ. α!

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Θ. 6—11

Ἀδελφοί, ὁ σπείρων φειδομένως φειδομένως καὶ θερίσει· καὶ ὁ σπείρων ἐπ' εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ· μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Δυνατὸς δὲ ὁ Θεὸς πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν· (καθὼς γέγραπται· Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. Ὁ δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, χορηγήσαι, καὶ πληθύναι τὸν σπόραν ὑμῶν καὶ αὐξήσαι τὰ γεννήματα τῆς δικαιοσύνης ὑμῶν·) ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΟΓΔΟΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν Α.

Κεφ. Ε. 1—11.

Τῷ καιρῷ ἐκείνῳ, ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρέτ, εἶδε δύω πλοῖα, ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα. Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτῶν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα
μῶν εἰς ἄγραν. Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶπεν αὐτ
Ἐπιστάτα, δι' ὅλης τῆς νυκτὸς καπιάσαντες, οὐδὲν ἐλ
βομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. Κ
τοῦτο ποιήσαντες, συνέκλεισαν πλῆθος ἰχθύων πολύ· δι
ῥήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. Καὶ κατένευσαν τ
μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας συ
λαβέσθαι αὐτοῖς· καὶ ἦλθον, καὶ ἔπλησαν ἀμφότερα
πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. Ἰδὼν δὲ Σίμων Πέτρ
προσέπεσε τοῖς γόνασι τοῦ Ἰησοῦ, λέγων. Ἔξελθε
ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε· Θάμβος γ
περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄ
ρᾳ τῶν ἰχθύων, ᾗ συνέλαβον· ὁμοίως δὲ καὶ Ἰ
κωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κ
νωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦ
Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. Κ
καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαν
ἠκολούθησαν αὐτῷ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΘ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσ

Κεφ. ΙΕ. 58—59 ΙΣΤ. 1—3

Ἀδελφοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύ
τες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες
ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ. Περὶ δὲ
λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς Ἐκκλ
σίαις τῆς Γαλατίας, οὕτω καὶ ὑμεῖς ποιήσατε. Κατὰ μ
Σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω, θησαυ
ζων ὅ,τι ἂν εὐοδῶται, ἵνα μὴ, ὅταν ἔλθω, τότε λογ
γίνωνται. Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσ
δι' Ἐπιστολῶν, τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν
μῶν εἰς Ἱερουσαλήμ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΙΘ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Β.

Κεφ. Ε. 17—26.

Τῷ καιρῷ ἐκείνῳ, ἦν διδάσκων ὁ Ἰησοῦς· καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ Νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ· καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς. Καὶ ἰδοὺ ἄνδρες, φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος· καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν, καὶ θεῖναι ἐνώπιον αὐτοῦ. Καὶ μὴ εὑρόντες διὰ ποίας εἰσενέγκωσιν αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τῷ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν, εἶπεν αὐτῷ· Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Καὶ ἤρξοντο διαλογίζεσθαι οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες· Τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός; Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπε πρὸς αὐτούς. Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· ἢ εἰπεῖν· Ἔγειραι καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, (εἶπε τῷ παραλελυμένῳ.) Σοὶ λέγω, ἔγειραι, καὶ, ἆρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν οἶκόν σου. Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἆρας ἐφ' ᾧ κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, δοξάζων τὸν Θεόν. Καὶ ἔκστασις ἔλαβεν ἅπαντας, καὶ ἐδόξαζον τὸν Θεόν· καὶ ἐπλήσθησαν φόβου, λέγοντες· Ὅτι εἴδομεν παράδοξα σήμερον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΝΝΑΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ Η! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 46.

.....

Προκείμενον, ἦχος 6!

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΑ. 31—33 ΙΒ. 1—9.

Ἀδελφοί, ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δὲ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. Οἶδα ἄνθρωπον ἐν Χριστῷ, πρὸ ἐτῶν δεκατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν·) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν·) ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, καὶ ἤκουσεν ἀῤῥητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἴρηκέ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

ΚΥΡΙΑΚΗ ΔΕΚΑΤΗ ΕΝΝΑΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν Β.

Κεφ. ΣΤ. 31—36

Εἶπεν ὁ Κύριος· Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Κ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ Α! 8—11

Ἀδελφοί, οὐ θέλομεν ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ὑμᾶς καὶ τοῦ ζῆν· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότε
ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺ
νεκρούς· ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, κα
ῥύεται. εἰς ὃν ἠλπίκαμεν, ὅτι καὶ ἔτι ῥύσεται, συνυ
πουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐ
πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶ
εὐχαριστηθῇ ὑπὲρ ὑμῶν·

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ Κ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Γ.

Κεφ. Ε. 27—23.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, ἐθεάσατο τε
λώνην, ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώ
νιον, καὶ εἶπεν αὐτῷ· Ἀκολούθει μοι. Καὶ καταλιπὼν ὃ
παντα, ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐποίησε δο
χὴν μεγάλην ὁ Λευῒς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦ
ὄχλος τελωνῶν, πολὺς, καὶ ἄλλων, οἳ ἦσαν μετ' αὐτῶ
κατακείμενοι. Καὶ ἐγόγγυζον οἱ Γραμματεῖς αὐτῶν κα
οἱ Φαρισαῖοι πρὸς τοὺς Μαθητὰς αὐτοῦ, λέγοντες· Δι
τί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε
Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτούς. Οὐ χρεία
ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες
Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰ
μετάνοιαν.

ΚΥΡΙΑΚΗι ΕΙΚΟΣΤΗι

Ἐν τῷ Ὄρθρῳ τὸ Θ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 25

.....

Προκείμενον, ἦχος γ!

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 11—19

Ἀδελφοὶ, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον τὸ εὐαγγε
λισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὔτε ἐδιδάχθην· ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν· καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς, ὁ ἀφορίσας με εἰς κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην, σαρκὶ καὶ αἵματι, οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους· ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Ἕτερον δὲ τῶν Ἀποστόλων οὐκ εἶδον, εἰμὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν Γ.

Κεφ. Ζ! 11—16

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, ἱκανοὶ, καὶ ὄχλος πολύς. Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ, ἐξεκομίζετο τεθνηκὼς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ· καὶ αὕτη ἦν χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ. Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος εὐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ. Μὴ κλαῖε. Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, (οἱ δὲ βαστάζοντες ἔστησαν), καὶ εἶπε· Νεανίσκε, σοὶ λέγω. Ἐγέρθητι. Καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν· καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. Ἔλαβε δὲ φόβος ἅπαν
τας, καὶ ἐδόξαζον τὸν Θεὸν, λέγοντες· Ὅτι Προφήτη
μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ Θεὸ
τὸν λαὸν αὐτοῦ.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΑ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Γ! 12—18.

Ἀδελφοὶ, ἔχοντες τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ
χρώμεθα· καὶ οὐ καθάπερ Μωσῆς ἐτίθει κάλυμμ
ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱ
οὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου. Ἀλλ' ἐ
πωρώθη τὰ νοήματα αὐτῶν· ἄχρι γὰρ τῆς σήμερον τ
αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκη
μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖ
ται, ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς
κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. Ἡνίκα δ' ἂ
ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ
δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου
ἐκεῖ ἐλευθερία. Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προ
σώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν ε
κόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ
ἀπὸ Κυρίου Πνεύματος.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΑ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Δ.

Κεφ. ΣΤ' 1—10.

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς τοῖς Σάββα
σι διὰ τῶν σπορίμων, καὶ ἔτιλλον οἱ Μαθηταὶ αὐ
τοῦ τοὺς στάχυας, καὶ ἤσθιον, ψώχοντες ταῖς χερσί. Τι
νὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς· Τί ποιεῖτε ὃ οὐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔξεστι ποιεῖν ἐν τοῖς Σάββασι; Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπεν ὁ Ἰησοῦς· Οὐδὲ τοῦτο, ἀνέγνωτε, ὃ ἐποίησε Δαυῒδ, ὁπότε ἐπείνασεν αὐτὸς, καὶ οἱ μετ' αὐτοῦ ὄντες; ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε, καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰμὴ μόνους τοὺς Ἱερεῖς; Καὶ ἔλεγεν αὐτοῖς. Ὅτι Κύριός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ Σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. Παρετήρουν δὲ αὐτὸν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ ἐν τῷ Σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· Ἔγειραι, καὶ στῆθι εἰς τὸ μέσον. Ὁ δὲ ἀναστὰς, ἔστη. Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτούς. Ἐπερωτήσω ὑμᾶς τι. Ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀπολέσαι; Καὶ περιβλεψάμενος πάντας αὐτοὺς, εἶπε τῷ ἀνθρώπῳ. Ἔκτεινον τὴν χεῖρά σου. Ὁ δὲ ἐποίησεν οὕτω· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς, ὡς ἡ ἄλλη.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ

Ἐν τῷ Ὄρθρῳ, Τὸ Ι! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 56.

Προκείμενον, ἦχος δ.

Ὡς ἐμεγαλύνθη, τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ [ἐποίησας. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β. 16—20.

Ἀδελφοὶ, εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως, Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος; Μὴ γένοιτο. Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος, ἑαυτὸν ὑπὲρ ἐμοῦ.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΠΡΩΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν Δ.

Κεφ. Η! 5—15.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην! Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Καὶ ἐν τῷ σπείρειν αὐτόν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό· καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα· καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα. Ἐπηρώτων δὲ αὐτὸν οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες· Τίς εἴη ἡ παραβολὴ αὕτη; Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν. Ἔστι δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν, ὁ λόγος τοῦ Θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδὸν εἰσὶν οἱ ἀκούοντες, εἶτα ἔρχεται ὁ διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θῶσιν· Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἵ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον, καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἱ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι· τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ, ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ. Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ΤΩ ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΒ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ε! 1—10.

Ἀδελφοί, οἴδαμεν ὅτι, ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον, αἰώνιον, ἐν τοῖς οὐρανοῖς. Καὶ γὰρ ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες. Εἴγε καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα· Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι, ἐφ' ᾧ οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. Ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο, Θεός, ὁ καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος. Θαῤῥοῦντες οὖν πάντοτε, καὶ εἰδότες ὅτι ἐνδημοῦντες ἐν τῷ σώματι, ἐκδημοῦμεν ἀπὸ τοῦ Κυρίου, (διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους·) θαῤῥοῦμεν δὲ καὶ εὐδοκοῦμεν μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος, καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. Διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες, εἴτε ἐκδημοῦντες, εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀρεστοι αὐτῷ εἶναι. Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΒ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Ε.

Κεφ. Ζ. 1—10.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Ἑκατοντάρχου δέ τινος δοῦλος, κακῶς ἔχων, ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτόν, ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. Οἱ δὲ, παραγενόμενοι πρὸς τὸν Ἰησοῦν, παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες· Ὅτι ἄξιός ἐστιν, ᾧ παρέξει τοῦτο· ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν Συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. Ἤδει δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ Ἑκατόνταρχος φίλους, λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου· Οὐ γάρ εἰμι ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· ἀλλὰ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. Καὶ γὰρ ἐγὼ Ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ· Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ· Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου· Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, ἐθαύμασεν αὐτόν· καὶ στραφεὶς, τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· Λέγω ὑμῖν· Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον, εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΔΕΥΤΕΡΑ

Ἐν τῷ Ὄρθρῳ τὸ ΙΑ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 60.

Προκείμενον, ἦχος πλ. ά!

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.
Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 11—18.

Ἀδελφοὶ, ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΔΕΥΤΕΡΑ

Ἐκ τοῦ κατὰ Λουκᾶν Ε.

Κεφ. ΙΣΤ! 19—31.

Εἶπεν ὁ Κύριος· Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν, ὀνόματι Λά-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος, καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν Ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ· Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη. Καὶ ἐν τῷ Ἅδῃ, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας, εἶπε· Πάτερ Ἀβραὰμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσαν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ. Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς μὴ δύνωνται μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. Εἶπε δέ· Ἐρωτῶ οὖν σε, Πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωσέα καὶ τοὺς Προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· Οὐχὶ, Πάτερ Ἀβραάμ· ἀλλ' ἐάν τις, ἀπὸ νεκρῶν, πορευθῇ πρὸς αὐτοὺς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ· Εἰ Μωσέως καὶ τῶν Προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΓ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κφ Η! 1—5.

Ἀδελφοί, γνωρίζομεν ὑμῖν τὴν χάριν τοῦ Θεοῦ, τὴν δεδομένην ἐν ταῖς Ἐκκλησίαις τῆς Μακεδονίας, ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν, καὶ ἡ κατὰ βάθος πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν· ὅτι κατὰ δύναμιν (μαρτυρῶ) καὶ ὑπὲρ δύναμιν αὐθαίρετοι· μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν, τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, δέξασθαι ἡμᾶς. Καὶ οὐ, καθὼς ἠλπίσαμεν, ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ, καὶ ἡμῖν διὰ θελήματος Θεοῦ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΓ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΣΤ.

Κεφ. Η. 16—21.

Εἶπεν ὁ Κύριος· Οὐδεὶς λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ' ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. Οὐ γὰρ ἐστι κρυπτὸν, ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἂν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ Μήτηρ καὶ οἱ Ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. Καὶ ἀπηγγέλθη αὐτῷ, λεγόντων· Ἡ Μήτηρ σου καὶ οἱ Ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες. Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μου καὶ Ἀδελφοί μου, οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΡΙΤΗι

Ἐν τῷ Ὄρθρῳ, τὸ Α! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 23.

.....

Προκείμενον, ἦχος πλ. β!

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β. 4—10

Ἀδελφοὶ, ὁ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς, νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ, (χάριτί ἐστε σεσωσμένοι,) καὶ συνήγειρε, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ, ἐν χρηστότητι ἐφ' ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ. Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΡΗΤΗι

Ἐκ τοῦ κατὰ Λουκᾶν ΣΤ.

Κεφ. Η! 26—39.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιον οὐκ ἐνεδιδύσκετο, καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ ἐν τοῖς μνήμασιν. Ἰδὼν δὲ τὸν Ἰησοῦν, καὶ ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπε· Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου; δέομαί σου, μή με βασανίσῃς. Παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου· πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτὸν, καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος· καὶ διαῤῥήσσων τὰ δεσμὰ, ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. Ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Τί σοι ἐστιν ὄνομα; Ὁ δὲ εἶπε· Λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν. Καὶ παρεκάλει αὐτὸν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· Καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη. Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον, ἔφυγον· καὶ ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον, ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν. Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ οἱ ἰδόντες, πῶς ἐσώθη ὁ δαιμονισθείς. καὶ ἠρήτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν, ἀπελθεῖν ἀπ' αὐτῶν, ὅτι φόβῳ μεγάλῳ, συνείχοντο· αὐτὸς δὲ, ἐμβὰς εἰς τὸ πλοῖον, ὑπέστρεψεν. Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς, λέγων· Ὑπόστρεφε εἰς τὸν οἶκόν σου, καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός. Καὶ ἀπῆλθε, καθ' ὅλην τὴν πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΔ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κορινθίους Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. ΙΑ. 1—6

Ἀδελφοί, ὄφελον ἠνείχεσθέ μου μικρόν τι τῆς ἀφροσύνης· ἀλλὰ καὶ ἀνέχεσθέ μου. Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι, τῷ Χριστῷ· φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον, ὃ οὐκ ἐδέξασθε, καλῶς ἠνείχεσθε. Λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπὲρ λίαν Ἀποστόλων. Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει· ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΔ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Ζ.

Κεφ. Θ. 1—6.

Τῷ καιρῷ ἐκείνῳ συγκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν. Καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας. Καὶ εἶπε πρὸς αὐτούς· Μηδὲν αἴρετε εἰς τὴν ὁδὸν, μήτε ῥάβδους, μήτε πήραν, μήτε ἄρτον, μήτε ἀργύριον, μήτε ἀνὰ δύω χιτῶνας ἔχειν. Καὶ εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. Καὶ ὅσοι ἂν μὴ δέξωνται ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης καὶ τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς μαρτύριον ἐπ αὐτούς. Ἐξερχόμενοι δὲ, διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΕΤΑΡΤΗ

Ἐν τῷ Ὄρθρῳ, Τὸ Β! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 69.

Προκείμενον, ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β. 14—22.

Ἀδελφοὶ, Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας· τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ. Καὶ ἐλθὼν, εὐηγγελίσατο εἰρήνην ὑμῖν τῆς μακρὰν, καὶ τοῖς ἐγγύς· ὅτι δι αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελείῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΤΕΤΑΡΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν. Ζ!

Κεφ. Η! 41—56.

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ, ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς Συναγωγῆς ὑπῆρχε· καὶ, πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ, ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις, εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου; Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μου τις· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην. Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ. Ὅτι τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν Διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται. Εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰμὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. Ἔκλαιον δὲ πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπε· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει· Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς, ἐγείρου. Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς, μηδενὶ εἰπεῖν τὸ γεγονός.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΕ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 3—10

Ἀδελφοί, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν, ἄλλο, εἰμή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες μεταστρέψαι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ Ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. Ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω· Εἴτις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω. Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; Ἢ ζητῶν ἀνθρώποις, ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΕ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Η.

Κεφ. Θ. 37—43.

Τῷ καιρῷ ἐκείνῳ, κατελθόντι τῷ Ἰησοῦ ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. Καὶ ἰδοὺ, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε, λέγων· Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστί μοι· καὶ ἰδοὺ, πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐξέφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ, συντρίβον αὐτόν. Καὶ ἐδεήθην τῶν Μαθητῶν σου, ἵνα ἐκβάλωσιν αὐτὸν, καὶ οὐκ ἠδυνήθησαν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς, καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε τὸν υἱόν σου ὧδε. Ἔτι δὲ προσερχομένου αὐτοῦ, ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον, καὶ συνεσπάραξεν. Ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα, καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ· ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗι ΕΙΚΟΣΤΗι ΠΕΜΠΤΗι

Ἐν τῷ Ὀρθρῳ τὸ Γ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 51.

Προκείμενον, ἦχος πλ. δ!

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ. 1—7

Ἀδελφοὶ, παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΠΕΜΠΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν Η.

Κεφ. Π 25—37

Τῷ καιρῷ ἐκείνῳ, Νομικός τις προσῆλθε τῷ Ἰησοῦ πειράζων αὐτόν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν. Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ. Ὁ δὲ, θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἰεριχὼ, καὶ λησταῖς περιέπεσεν· οἳ, καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ Ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευΐτης, γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν ἐσπλαχνίσθη· καὶ προσελθὼν κατέδησε τὰ τραύματα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύω δηνάρια ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ. Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τούτων τῶν τριῶν, πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

ΤΩ ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΣΤ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Γαλάτας Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ! 8—12

Ἀδελφοὶ, προϊδοῦσα ἡ Γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, προευηγγελίσατο τῷ Ἀβραὰμ, ὅτι εὐλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη. Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶ, ὑπὸ κατάραν εἰσί· γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου, τοῦ ποιῆσαι αὐτά. Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται· ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΣΤ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν Θ.

Κεφ. Θ. 57—62

Τῷ καιρῷ ἐκείνῳ, πορευομένου τοῦ Ἰησοῦ ἐν τῇ ὁδῷ, εἶπέ τις πρὸς αὐτόν. Ἀκολουθήσω σοι ὅπου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν ἀπέρχῃ, Κύριε. Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. Εἶπε δὲ πρὸς ἕτερον· Ἀκολούθει μοι. Ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. σὺ δὲ ἀπελθών, διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ. Εἶπε δὲ καὶ ἕτερος· Ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκον μου. Εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν· Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗι ΕΚΤΗ

Ἐν τῷ Ὄρθρῳ. Τὸ Δ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 28.

Προκείμενον, ἦχος ά!

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. Ζήτει Σελὶς, 63.

Εὐαγγέλιον Λειτουργίας
Ἐκ τοῦ κατὰ Λουκᾶν. Θ.

Κεφ. ΙΒ. 16—21

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα· καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; Καὶ εἶπε· Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου, καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου. Εἶπε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ αὐτῷ ὁ Θεός. Ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν. Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΖ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ε. 22—26 ΣΤ. 1—2.

Ἀδελφοί, ὁ καρπὸς τοῦ Πνεύματος ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν πνεύματι πνεύματι καὶ στοιχῶμεν. Μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοὶ ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σποπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῆς. Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΖ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν I.

Κεφ. Ι. 19—21.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδοὺ, δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΕΒΔΟΜΗ

Ἐν τῷ Ὄρθρῳ, Τὸ Ε! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 13

.....

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 10—17.

Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ Διαβόλου· ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, καὶ ἅπαντα κατεργασάμενοι στῆναι. Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗι ΕΙΚΟΣΤΗ ΕΒΔΟΜΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν I.

Κεφ. ΙΓ. 10—17.

Τῷ καιρῷ ἐκείνῳ, ἦν διδάσκων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν Συναγωγῶν ἐν τοῖς Σάββασι. Καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ· καὶ ἦν συγκύπτουσα, καὶ μὴ δυναμένη ἀνακύψαι εἰς τὸ παντελές. Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς, προσεφώνησε, καὶ εἶπεν αὐτῇ· Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου. Καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη, καὶ ἐδόξαζε τὸν Θεόν. Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ Σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ Σαββάτου. Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος, καὶ εἶπεν· Ὑποκριτά, ἕκαστος ὑμῶν τῷ Σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης, καὶ ἀπαγαγὼν ποτίζει; ταύτην δὲ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ Σαββάτου; Καὶ ταῦτα λέγοντος αὐτοῦ, κατησχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΗ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου τῷ ἀνάγνωσμα.

Κεφ. Α. 16—23.

Ἀδελφοὶ, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ· πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διανοίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας, κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΚΗ. ΕΒΔΟΜΑΔΟΣ.

Ἐκ τοῦ κατὰ Λουκᾶν. ΙΑ.

Κεφ. ΙΒ! 32—40.

Εἶπεν ὁ Κύριος· Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην. Ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὶς διαφθείρει. Ὅπου γάρ ἐστιν ὁ θυσαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται. Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων· ἵνα, ἐλθόντος καὶ κρούσαντος, εὐθέως ἀνοίξωσιν αὐτῷ. Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ Κύριος εὑρήσει γρηγοροῦντας· ἀμὴν λέγω ὑμῖν, ὅτι περιζώσεται, καὶ ἀνακλινεῖ αὐτοὺς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐ κεῖνοι. Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. Καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΟΓΔΟΗ

Ἐν τῷ Ὄρθρῳ τὸ ΣΤ. Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 53

Προκείμενον, ἦχος γ!

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α! 12—18.

Ἀδελφοὶ, εὐχαριστοῦμεν τῷ Θεῷ καὶ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε· καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, ὃς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗι ΕΙΚΟΣΤΗι ΟΓΔΟΗι

'Εκ τοῦ κατὰ Λουκᾶν. ΙΑ.

Κεφ. ΙΔ. 16—24.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς· καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ. Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρητημένον. Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρητημένον. Καὶ ἕτερος εἶπε. Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος, ἀπήγγειλε τῷ Κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς καὶ χωλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΘ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ.Β. 14—13

Ἀδελφοί, μνημονεύετε, ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκὶ, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ· νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἱ ποτὲ ὄντες μακρὰν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

ΤΩ ΣΑΒΒΑΤΩι ΤΗΣ ΚΘ! ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΒ.

Κεφ. ΙΓ. 19—29

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔξησε, καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ. Καὶ πάλιν εἶπε· Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; Ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ, ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ. Εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σωζόμενοι; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν, καὶ οὐκ ἰσχύσουσιν. Ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης, καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι, καὶ κρούειν τὴν θύραν, λέγοντες· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν, καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν· Οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ. Τότε ἄρξεσθε λέγειν· Ἐφάγομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας. Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας. Ἐκεῖ ἔστε ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τας τοὺς Προφήτας, ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω. Καὶ ἥξουσιν ἀπὸ Ἀνατολῶν καὶ Δυσμῶν καὶ ἀπὸ Βορρᾶ καὶ Νότου· καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗι ΕΙΚΟΣΤΗ ΕΝΝΑΤΗι

Ἐν τῷ Ὄρθρῳ, τὸ Ζ! Ἑωθινὸν Εὐαγγέλιον Σελ. 40.

Προκείμενον, ἦχος δ!

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ! 4—11.

Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ἡμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς· Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν, ἐκ τοῦ στόματος ὑμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν· ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΕΙΚΟΣΤΗ ΕΝΝΑΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΒ.

Κεφ. ΙΖ. 12—19.

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν· καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες, Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. Καὶ ἰδὼν εἶπεν αὐτοῖς, Πορευθέντες, ἐπιδείξατε ἑαυτοὺς τοῖς Ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν· καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ Οὗτος ἦν Σαμαρείτης. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰ μὴ ὁ ἀλλογενὴς οὗτος. Καὶ εἶπεν αὐτῷ, Ἀναστὰς, πορεύου· ἡ πίστις σου σέσωκέ σε.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Λ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Ἐφεσίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Κεφ. Ε. 1—8.

Ἀδελφοὶ, γίνεσθε μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· καὶ αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα· ἀλλὰ μᾶλλον εὐχαριστία. Τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ Λ. ΕΒΔΟΜΑΔΟΣ

Εκ τοῦ κατὰ Λουκᾶν. ΙΓ.

Κεφ. ΙΔ. 1—11

Καὶ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς οἶκον τινὸς τῶν ἀρχόντων τῶν Φαρισαίων Σαββάτῳ φαγεῖν ἄρτον· καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. Καὶ ἰδοὺ, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς Νομικοὺς καὶ Φαρισαίους, λέγων· Εἰ ἔξεστι τῷ Σαββάτῳ θεραπεύειν; Οἱ δὲ ἡσύχασαν. Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν, καὶ ἀπέλυσε. Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπε· Τίνος ὑμῶν ὄνος ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ Σαββάτου; Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα. Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολὴν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν πρωτοκλισίαν· μή ποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ' αὐτοῦ· καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας, ἐρεῖ σοι· Δὸς τούτῳ τόπον· καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τόπον κατέχειν. Ἀλλ' ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσον εἰς τὸν ἔσχατον τόπον· ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ σοι· Φίλε, προσανάβηθι ἀνώτερον· τότε ἔσταί σοι δόξα ἐνώπιον τῶν συνανακειμένων σοι. Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ

Ἐν τῷ Ὄρθρῳ. Τὸ Η! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 46

Προκείμενον, ἦχος πλ. ά!

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.
Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ! 12—16

Ἀδελφοὶ ἐνδύσασθε, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς. Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε. Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ· διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς, ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΓ.

Κεφ. ΙΗ! 18—27.

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός. Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς· Μὴ φονεύσῃς· Μὴ κλέψῃς· Μὴ ψευδομαρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τυρήσῃς· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις, πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θυσαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι. Ὁ δὲ, ἀκούσας ταῦτα, περίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα. Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον, εἶπε· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες, εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Εἶπον δὲ οἱ ἀκούσαντες· Καὶ τίς δύναται σωθῆναι; Ὁ δὲ εἶπε· Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατά ἐστι παρὰ τῷ Θεῷ.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΛΑ. ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 1—6.

Παῦλος, Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, τοῖς ἐν Κολασσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ Πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ Εὐαγγελίου, τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ· καὶ ἔστι καρποφορούμενον, καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΛΑ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν. ΙΔ!

Κεφ. ΙΣΤ! 10—15.

Εἶπεν ὁ Κύριος· Ὁ πιστὸς ἐν ἐλαχίστῳ, καὶ ἐν πολλῷ πιστός ἐστι· καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος, καὶ ἐν πολλῷ ἄδικός ἐστιν. Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν, πιστεύσει; Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ, πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; Οὐδεὶς οἰκέτης δύναται δυσὶ Κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες· καὶ ἐξεμυκτήριζον αὐτόν. Καὶ εἶπεν αὐτοῖς· Ὑμεῖς ἐστὲ οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων· ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν, βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ ἐστιν.

ΚΥΡΙΑΚΗι ΤΡΙΑΚΟΣΤΗ ΠΡΩΤΗ

Ἐν τῷ Ὄρθρῳ τὸ Θ! Ἑωθινὸν Εὐαγγέλιον Σελὶς, 25.

Προκείμενον, ἦχος πλ. β!

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Τιμόθεον Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Α. 15.-17.

Πέκνον Τιμόθεε, πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον. Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ ΠΡΩΤΗ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΔ.

Κεφ. ΙΗ! 35—43

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν τῷ ἐγγίζειν τὸν Ἰησοῦν εἰς Ἰεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο, τί εἴη τοῦτο. Ἀπήγγειλαν δὲ αὐτῷ, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. Καὶ ἐβόησε, λέγων· Ἰησοῦ, Υἱὲ Δαυῖδ, ἐλέησόν με. Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαυῖδ, ἐλέησόν με· Σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ, ἐπηρώτησεν αὐτὸν, λέγων· Τί σοι θέλεις ποιήσω; Ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω. Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε· καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ, δοξάζων τὸν Θεόν· Καὶ πᾶς ὁ λαὸς ἰδὼν, ἔδωκεν αἶνον τῷ Θεῷ!

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΒ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Θεσσαλονικεῖς Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Ε! 14—23.

Ἀδελφοὶ, παρακαλοῦμεν ὑμᾶς, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ· ἀλλὰ πάντοτε τὸ ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς πάντας. Πάντοτε χαίρετε. Ἀδιαλείπτως προσεύχεσθε· Ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τὸ πνεῦμα μὴ σβέννυτε. Προφητείας μὴ ἐξουθενεῖτε. Πάντα δοκιμάζετε· τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε. Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν, τὸ πνεῦμα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΒ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΕ.

Κεφ. ΙΖ. 3—10.

Εἶπεν ὁ Κύριος· Προσέχετε ἑαυτοῖς. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ ἐπὶ σὲ, λέγων· Μετανοῶ, ἀφήσεις αὐτῷ. Καὶ εἶπον οἱ Ἀπόστολοι τῷ Κυρίῳ· Πρόσθες ἡμῖν πίστιν. Εἶπε δὲ ὁ Κύριος· Εἰ εἴχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ· Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα, ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ, ἐρεῖ εὐθέως· Παρελθὼν ἀνάπεσαι; ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· Ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι, ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι ἐποίησε τὰ διαταχθέντα αὐτῷ; Οὐ δοκῶ. Οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε· Ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ ΔΕΥΤΕΡΑ

Ἐν τῷ Ὄρθρῳ, Τὸ Ι! Ἑωθινὸν Εὐαγγέλιων Σελὶς, 56.

Προκείμενον, ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Πρὸς Τιμόθεον Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ. Δ. 9—15.

Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος. Εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι Σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. Παράγγελλε ταῦτα καὶ δίδασκε. Μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. Ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας, μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. Ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν.

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗι ΔΕΥΤΕΡΑ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΕ.

Κεφ. ΙΘ. *1—10.*

Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχώ. Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος· καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι· καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραίαν, ἵνα ἴδῃ αὐτόν· ὅτι δι ἐκείνης ἤμελλε διέρχεσθαι. Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν, καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. Καὶ ἰδόντες ἅπαντες διεγόγγυζον, λέγοντες· Ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. Σταθεὶς δὲ Ζακχαῖος, εἶπε πρὸς τὸν Ἰησοῦν· Ἰδοὺ, τὰ ἡμίσια τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴτινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς, Ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΛΓ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Τιμόθεον Β. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β. *11—19.*

Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ συζήσομεν· εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν· εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται. Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος ἐνώπιον τοῦ Κυρίου, μὴ λογομαχεῖν, εἰς οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. Σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον, ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. Τὰς δὲ βεβήλους κενοφωνίας περίϊστασο· ἐπὶ πλεῖον γὰρ προκόψουσιν ἀσεβείας· καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν ἐστιν Ὑμέναιος καὶ Φιλητὸς, οἵτινες περὶ τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τὴν τινῶν πίστιν. Ὁ μέν τοι στερεὸς θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγίδα ταύτην· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καὶ· ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα Χριστοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΓ! ΕΒΔΟΜΑΔΟΣ

'Εκ τοῦ κατὰ Λουκᾶν ΙΣΤ.

Κεφ. ΙΗ. 2—8.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Κριτής τις ἦν ἔν τινι πόλει, τὸν Θεὸν μὴ φοβούμενος, καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. Χήρα δέ τις ἦν ἐν τῇ πόλει ἐκείνῃ· καὶ ἤρχετο πρὸς αὐτόν, λέγουσα· 'Εκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. Καὶ οὐκ ἤθέλησεν ἐπὶ χρόνον. Μετὰ δὲ ταῦτα, εἶπεν ἐν ἑαυτῷ· Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι, καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι· διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην, ἐκδικήσω αὐτὴν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ με. Εἶπε δὲ ὁ Κύριος· 'Ακούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· ὁ δὲ Θεὸς, οὐ μὴ ποιήσει τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ, τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; Λέγω ὑμῖν, ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΧΑΝΑΝΑΙΑΣ

Σημειοῦται ἐνταῦθα ὅτι, ὅταν τὸ Πάσχα συμπέσῃ εἰς μίαν ἐκ τῶν ἡμερῶν ἀπὸ 15—25 'Απριλίου, ἐπειδὴ ἐλλείπει ὁλόκληρος ἑβδομὰς ἐν τοῖς κατὰ Λουκᾶν Εὐαγγελίοις, τότε πρὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου ἀναγινώσκεται τὸ εὐαγγέλιον τῆς Κυριακῆς τῆς Χαναναίας ἐν Σελίδι 115 ὡς φαίνεται καὶ εἰς τὰ ἐν τέλει Πασχάλια. Κατὰ δὲ τὰς λοιπὰς πέντε ἡμέρας τῆς ἑβδομάδος ταύτης, ἤτοι ἀπὸ τῆς Δευτέρας μέχρι τῆς Παρασκευῆς, ἀναγινώσκονται εἴτε ἐκ τοῦ κατὰ Ματθαῖον ἐκ τῶν περικοπῶν τοῦ κατὰ Μάρκον τῆς ΙΣΤ. ἑβδομάδος, εἴτε ἐκ τοῦ κατὰ Λουκᾶν. Κατὰ δὲ τὸ Σάββατον τῆς ἑβδομάδος ταύτης ἀναγινώσκεται τὸ ἐκ τοῦ κατὰ Ματθαῖον Σάββατον τῆς ΙΖ. 'Εβδομάδος Σελὶς 113.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΥΡΙΑΚΗι ΛΓ. τοῦ ΤΕΛΩΝΟΥ καὶ ΦΑΡΙΣΑΙΟΥ

Τὸ Ἑωθινὸν εὐαγγέλ. ζήτει ἐν τῷ τέλει εἰς τὸ Πασχάλιον τοῦ τρέχ. ἔτους

Προκείμενον, ἦχος πλ. δ!

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.
Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός,

Πρὸς Τιμόθεον Β! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ. 10—15.

Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένετο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις· οἵους διωγμοὺς ὑπήνεγκα, καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται. Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν, διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

ΚΥΡΙΑΚΗ ΛΓ. τοῦ ΤΕΛΩΝΟΥ καὶ ΦΑΡΙΣΑΙΟΥ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΣΤ.

Κεφ. ΙΗ. 10—15.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ Ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος Τελώνης. Ὁ Φαρισαῖος, σταθεὶς πρὸς ἑαυτὸν, ταῦτα προσηύχετο· ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ Τελώνης· νηστεύω δὶς τοῦ Σαββάτου, ἀποδεκατῶ πάντα, ὅσα κτῶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μαι. Καὶ ὁ Τελώνης, μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ στῆθος αὐτοῦ, λέγων· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Λέγω ὑμῖν· Κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΔ! ΕΒΔΟΜΑΔΟΣ

Πρὸς Τιμόθεον Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 11—16.

Τέκνον Τιμόθεε, δίωκε δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονὴν, πραότητα. Ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης, καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. Παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα, καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον, μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον. Ἀμήν.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΔ! ΕΒΔΟΜΑΔΟΣ.

Ἐκ τοῦ κατὰ Λουκᾶν. ΙΖ.

Κεφ. Κ! 46—47. ΚΑ! 1—4.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν Γραμματέων, τῶν θελόντων περιπατεῖν ἐν

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· οἱ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρᾶ προσεύχονται, οὗτοι λήψονται περισσότερον κρίμα. Ἀναβλέψας δὲ, εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους. Εἶδε δὲ καί τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτὰ, καὶ εἶπεν· Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν· ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον, ὃν εἶχεν ἔβαλε· Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ ΤΕΤΑΡΤΗ τοῦ ΑΣΩΤΟΥ

ὁΤ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει ὄπισθεν εἰς τὸ Πασχάλιον τοῦ τρέχοντ. ἔτους

Προκείμενον, ἦχος ά!

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.
Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 12—20

Ἀδελφοὶ, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήμαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα, καταργήσει· τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; Ἆρα οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσω πόρνης μέλη; Μὴ γένοιτο! Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; Ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν· Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι. Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσῃ ἄνθρω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε δὴ τὸν Θεὸν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ.

ΚΥΡΙΑΚΗ ΤΡΙΑΚΟΣΤΗ ΤΕΤΑΡΤΗ τοῦ ΑΣΩΤΟΥ

Ἐκ τοῦ κατὰ Λουκᾶν ΙΖ.

Κεφ. ΙΕ. *11*—32.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις εἶχε δύο υἱούς· καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως. Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Εἰς ἑαυτὸν δὲ ἐλθὼν, εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν· Εἶπε δὲ αὐτῷ ὁ υἱός· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτὸν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας· καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν· ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν,καὶ εὑρέθη Καὶ ἤρξαντο εὐφραίνεσθαι. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε συμφωνίας καὶ χορῶν· καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί εἴη ταῦτα. Ὁ δὲ εἶπεν αὐτῷ. Ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. Ὠργίσθη δὲ, καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. Ὁ δὲ ἀποκριθεὶς, εἶπε τῷ πατρί· Ἰδοὺ, τοσαῦτα ἔτη δουλεύω σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ὅτε δὲ υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. Ὁ δὲ εἶπεν αὐτῷ. Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΛΕ. ΕΒΔΟΜΑΔΟΣ

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.
Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.
Ἀδελφοὶ πάντα μοὶ ἔξεστιν Σελ. 109.
Ἕτερος εἰς Κοιμηθέντας.
Ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν Σελ. 59.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ ΛΕ. ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ΚΑ. 8—9—25—27—33—36.

Εἶπεν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ εἰμι· καὶ, ὁ καιρὸς ἤγγικε· μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον· ἀλλ' οὐκ εὐθέως τὸ τέλος. Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου, ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ Δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ, καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν, ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα ταῦτα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΠΟΚΡΕΩ

Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει ὄπισθεν εἰς τὸ Πασχάλιον τοῦ τρέχ. ἔτους

.....

Προκείμενον, ἦχος β!

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος.
Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

Κεφ. Η!8—13. Θ! 1

Ἀδελφοὶ, βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. Βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. Ἐὰν γάρ τις ἴδῃ σε, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν. Οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. Διό περ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. Οὐκ εἰμὶ Ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος; Οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; Εἰ ἄλλοις οὐκ εἰμι Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΚΕ! 31—46.

Εἶπεν ὁ Κύριος· Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ. Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων· καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τότε ἐρεῖ ὁ Βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον, καὶ συνηγάγομεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν; πότε δὲ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ; Καὶ ἀποκριθεὶς ὁ Βασιλεὺς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς, καὶ ἐν φυλακῇ καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς λέγων· Ἀμὴν λέγω ὑμῖν. Ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ

Προκείμενον, ἦχος πλ. δ!
Καυχήσονται ὅσιοι ἐν δόξῃ
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν
Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΔ. 19—23. ΙΣΤ.—25—27.

Ἀδελφοί, τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ· πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέα, μηδὲ πιεῖν οἶνον, μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ Σὺ πίστιν ἔχεις; κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει· Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν διά τε γραφῶν προφητικῶν, κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

☛ Σημ. Ἰστέον ὅτι οὐ παρελάβομεν ὑπὸ τῶν ἁγίων Πατέρων. ποιεῖν τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τῆς τυρινῆς Λειτουργείαν οὔτε Προηγιασμένην· ὅταν ὅμως τύχῃ ἑορταζόμενος Ἅγιος γίνεται Λειτουργία τοῦ Χρυσοστόμου. Καταβασίαι ψάλλονται. Ἀνοίξω τὸ στόμα μου. Κοντάκιον Προστασία τῶν Χριστιανῶν· καὶ καθεξῆς ἀνευ Τριωδίου. ὀρθρ. Εὐαγ. Ἀπόστολος καὶ Εὐαγ. λειτουρ. τοῦ Ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΤΕΡΟΣ ΑΠΟΣΤΟΛΟΣ ΤΩΝ ΟΣΙΩΝ

Ἀδελφοί· ὁ καρπὸς τοῦ Πνεύμ. Ζήτει Σαβ. τῇ ΚΖ. Ἑβδομ. Σελὶς 142

ΤΩι ΣΑΒΒΑΤΩι ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΣΤ. 1—13

Εἶπεν ὁ Κύριος· Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· Ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, αὐτὸς ἀποδώσει σοι ἐν τῷ φανερῷ. Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑποκριταί· ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δέ, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Προσευχόμενοι δὲ, μὴ βαττολογήσητε, ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. Μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν, ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΗι ΚΥΡΙΑΚΗι ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ

Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει εἰς τὸ Πασχάλιον τοῦ τρέχοντος ἔτους

ὁ Ἀπόστολος

Προκείμενον, ἦχος γ!

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.
Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πρὸς Ρωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΓ. 11—14. ΙΔ. 1—4

Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν. Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς διακρίσεις διαλογισμῶν. Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. ΣΤ. 14—21

Εἶπεν ὁ Κύριος· Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν. Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε, ὥσπερ οἱ ὑποκριταί, σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι· ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι. Θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν. Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν.

ΕΥΑΓΓΕΛΙΑ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΑ

ΕΙΣ ΤΑΣ ΠΑΝΥΧΙΔΑΣ

ΤΗΣ ΠΡΩΤΗΣ ΕΒΔΟΜΑΔΟΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ

ΤΗ ΔΕΥΤΕΡΑ ΕΣΠΕΡΑΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν

Κεφ. ΚΑ. 8—36.

Εἶπεν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ εἰμι, καὶ ὁ καιρὸς ἤγγικε· μὴ οὖν πορευθῆτε ὀπίσω

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτῶν. Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον· ἀλλ' οὐκ εὐθέως τὸ τέλος. Τότε, ἔλεγεν αὐτοῖς· Ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· σεισμοί τε μεγάλοι κατὰ τόπους, καὶ λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε, καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται. Πρὸ δὲ τούτων ἁπάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις, μὴ εἰσερχέσθωσαν εἰς αὐτήν· ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι, τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν τῷ λαῷ τούτῳ. Καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη· καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν. Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ, ἠχούσης θαλάσσης καὶ σάλου· ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε, καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν. Καὶ εἶπε παραβολὴν αὐτοῖς· Ἴδετε τὴν συκῆν, καὶ πάντα τὰ δένδρα· ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε, ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα γένηται. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. Προσέχετε δὲ ἑαυτοῖς, μή ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ, καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη. Ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. Ἀγρυπνεῖτε οὖν, ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν ταῦτα πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου.

ΤΗι ΤΡΙΤΗι ΕΣΠΕΡΑΣ

Ἀνάγνωθι τὸ Εὐαγ. τοῦ Σαββάτου τῆς Τυροφάγου Σελ. 169

Εἶπεν ὁ Κύριος, προσέχεται τὴν ἐλεησύνην

Τῇ Τετάρτῃ Ἑσπέρας

Ἐκ τοῦ κατὰ Μάρκον Κεφ. ΙΑ. 23—25 Ματθ. Ζ.7—8.

Εἶπεν ὁ Κύριος· ἔχετε πίστιν Θεοῦ· Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι, ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ. Ἄρθητι, καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσῃ ὅτι ἃ λέγει γίνεται· ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. Διὰ τοῦτο λέγω ὑμῖν· πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε, καὶ ἔσται ὑμῖν. Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ Πατὴρ ὑμῶν ὁ ἐν ἐν τοῖς οὐρανοῖς, ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει. καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.

ΤΗ ΠΕΜΠΤΗι ΕΣΠΕΡΑΣ

Εκ τοῦ κατὰ Ματθαῖον

Κεφ Ζ. 7—11.

Εἶπεν ὁ Κύριος· Αἰτεῖτε,καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρίσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. Ἤ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; Εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

ΤΗι ΠΑΡΑΣΚΕΥΗι ΕΣΠΕΡΑΣ

Ἐκ τοῦ κατὰ Ἰωάννην

Κεφ. ΙΕ. 1—7

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι. Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸν καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν· Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν.

ΤΩι ΣΑΒΒΑΤΩ ΤΗΣ Α! ΕΒΔΟΜ- ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἀνάγνωθι τὸν Ἀπόστολον Ἁγ. Θεοδώρου Τέκνον Τιμόθ. ἐνδυναμοῦ Ζήτει ἔμπροσθεν εἰς τὰς 26 Ὀκτωβρ.

Προκείμενον, ἦχος βαρύς.
Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.
Εἰσάκουσον, ὁ Θεὸς, τῆς φωνῆς μου
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα·

Κεφ. Α. *1—12.*

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων. Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν. Ἐγὼ ἔ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν, Ὁ θρόνος σου, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ Σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.

Ἕτερος τοῦ ἁγ. Θεδώρου ζήτει εἰς τὰς 26 ὀκτωβρ. τέκ. Τιμ.

ΤΩ ΣΑΒΒΑΤΩ ΤΗΣ Α! ΕΒΔΟΜ. ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἐκ τοῦ κατὰ Μάρκον

Κεφ. Β! 23—28 Κεφ. Γ! 1—5

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ Μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν, τίλλοντες τοὺς στάχυας. Καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· Ἴδε, τί ποιοῦσιν ἐν τοῖς Σάββασιν, ὁ οὐκ ἔξεστι. Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· Οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαυῒδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπίνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ Ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν, εἰμὴ τοῖς Ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; Καὶ ἔλεγεν αὐτοῖς· Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον· ὥστε κύριός ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στιν ὁ Υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ Σαββάτου. Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. Καὶ παρετήρουν αὐτὸν εἰ τοῖς Σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. Καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· Ἔγειραι εἰς τὸ μέσον. Καὶ λέγει αὐτοῖς· Ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι, ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι, ἢ ἀποκτεῖναι; Οἱ δὲ ἐσιώπων. Καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· Ἔκτεινον τὴν χεῖρά σου. Καὶ ἐξέτεινε· καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη.

ΤΗι ΠΡΩΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ Ἑωθιν. Εὐαγγέλ. Ζήτει ἐν τῷ τέλει εἰς τὸ Πασχάλιον τοῦ τρέχ. ἔτους

Προκείμενον, ἦχος δ!.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΑΙ. 24—26 32—40

Ἀδελφοί, πίστει Μωσῆς, μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ· μᾶλλον ἐλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· μείζονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυῒδ τε καὶ Σαμουὴλ, καὶ τῶν Προφητῶν· οἳ διὰ πίστεως κατηγωνήσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος·) ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

ΤΗι ΠΡΩΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. Α. 43—51

Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ Προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου.

ΤΩ ΔΕΥΤΕΡΩ ΣΑΒΒΑΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Προκείμενον, ἦχος πλ. β'

Ἐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι.
Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ. 12—16

Ἀδελφοί, βλέπετε μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος· ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας· μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι· Σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

ΤΩ ΔΕΥΤΕΡΩ ΣΑΒΒΑΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Α. 35—44.

Τῷ καιρῷ ἐκείνῳ, ἀπῆλθεν ὁ Ἰησοῦς εἰς ἔρημον τόπον, κἀκεῖ προσηύχετο. Καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ μετ' αὐτοῦ· καὶ εὑρόντες αὐτὸν, λέγουσιν αὐτῷ· Ὅτι πάντες ζητοῦσί σε. Καὶ λέγει αὐτοῖς· Ἄγω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα κἀκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα. Καὶ ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν, εἰς ὅλην τὴν Γαλιλαίαν, καὶ τὰ δαιμόνια ἐκβάλλων. Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς, παρακαλῶν αὐτὸν, καὶ γονυπετῶν αὐτὸν, καὶ λέγων αὐτῷ· Ὅτι, ἐὰν θέλῃς δύνασαί με καθαρίσαι. Ὁ δὲ Ἰησοῦς σπλαγχνισθεὶς, ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, καὶ λέγει αὐτῷ· Θέλω, καθαρίσθητι. Καὶ εἰπόντος αὐτοῦ, εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. Καὶ ἐμβριμησάμενος αὐτῷ, εὐθέως ἐξέβαλεν αὐτόν· καὶ λέγει αὐτῷ· Ὅρα μηδενὶ μηδὲν εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ Ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου, ἃ προσέταξε Μωσῆς, εἰς μαρτύριον αὐτοῖς.

ΤΗι ΔΕΥΤΕΡΑ ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ Ἑωθιν. Εὐαγγέλ. ζήτει εἰς τὸ Πασχάλ. τοῦ τρέχ. ἔτους.

Προκείμενον, ἦχος πλ. ἀ.

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.
Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. Α. 10—14. Β. 1—3

Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ, περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς **τίν**α δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κλη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

ΤΗι ΔΕΥΤΕΡΑ ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Β. 1—12.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ· καὶ ἠκούσθη, ὅτι εἰς οἶκόν ἐστι. Καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. Καὶ ἔρχονται πρὸς αὐτὸν, παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων. Καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν· καὶ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, λέγει τῷ παραλυτικῷ· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Ἦσαν δέ τινες τῶν Γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰμὴ εἷς, ὁ Θεός; Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕτω διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειραι, καὶ ἆρόν σου τὸν κράββατον, καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας· (λέγει τῷ παραλυτικῷ·) Σοὶ λέγω, ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκον σου. Καὶ ἠγέρθη εὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέως, καὶ ἄρας τὸν κράββατον, ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας, καὶ δοξάζειν τὸν Θεὸν, λέγοντας· Ὅτι οὐδέποτε οὕτως εἴδομεν.

ΤΩι ΤΡΙΤΩ ΣΑΒΒΑΤΩι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Προκείμενον, ἦχος πλ. 6!

Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι.
Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ι. 32 — 38.

Ἀδελφοὶ, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν, ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ, κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς, καὶ μένουσαν. Μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν· ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

ΤΩι ΤΡΙΤΩ ΣΑΒΒΑΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Β. 14—17.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδε Λευῒν τὸν τοῦ Ἀλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ λέγει αὐτῷ. Ἀκολούθει μοι. Καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ κατακεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ, καὶ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς Μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί, καὶ ἠκολούθησαν αὐτῷ. Καὶ οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν, ἔλεγον τοῖς Μαθηταῖς αὐτοῦ· Τί ὅτι μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; Καὶ ἀκούσας ὁ Ἰησοῦς, λέγει αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ΤΗ ΤΡΙΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει εἰς τὸ Πασχάλιον τοῦ τρέχοντος ἔτους

.....

Προκείμενον, ἦχος πλ. β'

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ΄ 14—16 Ε' 1—6.

Ἀδελφοί, ἔχοντες Ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. Οὐ γὰρ ἔχομεν Ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας. Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν. Πᾶς γὰρ Ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν· μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φίλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν· Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμὴν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών. Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν. Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

ΤΗ ΤΡΙΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Η. 34—38. Θ. 1

Εἶπεν ὁ Κύριος· Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὅς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ, ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπος, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὅς γὰρ ἂν ἐπαισχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, μετὰ τῶν Ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵ τινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΤΕΤΑΡΤΩι ΣΑΒΒΑΤΩι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Προκείμενον, ἦχος πλ. 6!

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.

Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ, 9—12.

Ἀδελφοί, πεπείσμεθα περὶ ὑμῶν, ἀγαπητοὶ τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

ΤΩ ΤΕΤΑΡΤΩ ΣΑΒΒΑΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Ζ. 31—37.

Τῷ καιρῷ ἐκείνῳ, ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος, ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. Καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. Καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ· καὶ πτύσας, ἥψατο τῆς γλώσσης αὐτοῦ. Καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν, ἐστέναξε, καὶ λέγει αὐτῷ· Ἐφφαθὰ, ὅ ἐστι, Διανοίχθητι. Καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαί· καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. Καὶ διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λον περισσότερον ἐκήρυσσον· καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο, λέγοντες· Καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς ἀλάλους λαλεῖν.

ΤΗι ΤΕΤΑΡΤΗι ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει ὄπισθεν εἰς τὸ Πασχάλιον τοῦ τρέχ. ἔτους.

Προκείμενον, ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΣΤ. 13—.20.

Ἀδελφοί, τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· Ἢ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε. Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος. Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ ἵνα διὰ δύο, πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ Ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.

Ἕτερος Ἀπόστολος τοῦ Ὁσίου Ἰωάννου.

Ἀδελφοὶ, ὡς τέκνα φωτὸς περιπατεῖτε. Ζήτει σελὶς, 63.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗι ΤΕΤΑΡΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Θ. 17— 31.

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ γονυπετῶν αὐτὸν, καὶ λέγων· Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα πνεῦμα ἄλαλον· καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν· καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς Μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν. Ὁ δὲ ἀποκριθεὶς αὐτῷ, λέγει· Ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετε αὐτὸν πρός με. Καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν· καὶ ἰδὼν αὐτὸν, εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων. Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; Ὁ δὲ εἶπε· Παιδιόθεν. Καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, τό· Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. Καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου, μετὰ δακρύων ἔλεγε· Πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ. Ἰδὼν δὲ ὁ Ἰησοῦς, ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν· Καὶ κράξαν, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν. Ὁ δὲ Ἰησοῦς, κρατήσας αὐτὸν τῆς χειρὸς, ἤγειρεν αὐτόν, καὶ ἀνέστη. Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον, οἱ Μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ' ἰδίαν· ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; Καὶ εἶπεν αὐτοῖς· Τοῦτο τὸ γένος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Καὶ ἐκεῖθεν ἐξελθόντες, παρεπορεύοντο διὰ τῆς Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· Ἐδίδασκε γὰρ τοὺς Μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν αὐτοῖς· Ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθεὶς, τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

ΤΩ ΠΕΜΠΤΩ ΣΑΒΒΑΤΩ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Καὶ τοῦ Ἀκαθίστου.

Προκείμενον, ἦχος δ!

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Θ. 24 — 28.

Ἀδελφοὶ, οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ, (ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου)· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. Καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις· οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Ἕτερος Ἀπόστολος τῆς Θεοτόκου.

Ἀδελφοὶ, εἶχεν ἡ πρώτη σκηνὴ. Ζήτει εἰς τὰς 21 Νοεμβρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩι ΠΕΜΠΤΩ ΣΑΒΒΑΤΩι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Η 27—31

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ Μαθηταὶ αὐτοῦ, εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ, ἐπηρώτα τοὺς Μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς· Τίνα μὲ λέγουσιν οἱ ἄνθρωποι εἶναι; οἱ δὲ ἀπεκρίθησαν· Ἰωάννην τὸν Βαπτιστήν· καὶ ἄλλοι, Ἠλίαν· ἄλλοι δὲ, ἕνα τῶν Προφητῶν. Καὶ αὐτὸς λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος, λέγει αὐτῷ· Σὺ εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ. Καὶ ἤρξατο διδάσκειν αὐτοὺς, ὅτι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν Πρεσβυτέρων καὶ Ἀρχιερέων καὶ Γραμματέων, καὶ ἀποκτανθῆναι· καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι.

ΤΗ ΠΕΜΠΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ζήτει ὄπισθεν εἰς τὸ Πασχάλιον τοῦ τρέχοντ. ἔτους

Προκείμενον, ἦχος πλ. δ!

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Θ 11—14

Ἀδελφοί, Χριστὸς παραγενόμενος, Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως, οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. Εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

Ἕτερος Ἀπόστολος τῆς Ὁσίας Μαρίας τῆς Αἰγυπτίας. Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. ζήτει Νοεμβρ. 25.

ΤΗ ΠΕΜΠΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. Ι. 32—45.

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, καὶ ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν· Ὅτι ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παροδώσουσιν αὐτὸν τοῖς ἔθνεσι· καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ μαστιγώσουσιν αὐτὸν, καὶ ἐμπτύσουσιν αὐτῷ, καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης, οἱ υἱοὶ Ζεβεδαίου, λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν, ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· Δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου, καθίσωμεν ἐν τῇ δόξῃ σου. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε ποιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Οἱ δὲ εἶπον αὐτῷ· Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Τὸ μὲν ποτήριον, ὃ ἐγὼ πίνω, πίεσθε· καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. Καὶ ἀκού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαντες οἱ Δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. Ὁ δὲ Ἰησοῦς, προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς· Οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος· καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος. Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

ΤΩι ΣΑΒΒΑΤΩι

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΔΙΚΑΙΟΥ ΛΑΖΑΡΟΥ

Προκείμενον, Ἦχος γ'!

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΒ. 28—29. ΙΓ. 1—8.

Ἀδελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ, μετὰ αἰδοῦς καὶ εὐλαβείας. Καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον. Ἡ φιλαδελφία μενέτω. Τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες Ἀγγέλους. Μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι· τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. Ἀφιλάργυρος ὁ τρόπος· ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω· ὥστε θαῤῥοῦντας ἡμᾶς λέγειν· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵ τινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

ΤΩ ΣΑΒΒΑΤΩι ΤΟΥ ΑΓ. ΚΑΙ ΔΙΚΑΙΟΥ ΛΑΖΑΡΟΥ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ΙΑ. 1—45.

Τῷ καιρῷ ἐκείνῳ, ἦν τις ἀσθενῶν, Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. (Ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς· ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει). Ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν, λέγουσαι· Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ. Ἀκούσας δὲ ὁ Ἰησοῦς, εἶπεν· Αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς. Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν, καὶ τὴν ἀδελφὴν αὐτῆς, καὶ τὸν Λάζαρον. Ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς Μαθηταῖς· Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. Λέγουσιν αὐτῷ οἱ Μαθηταί· Ῥαββὶ, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; Ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει· ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτὶ, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. Ταῦτα εἶπε· καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. Εἶπον οὖν οἱ Μαθηταὶ αὐτοῦ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. Εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔδοξαν, ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. Τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ· Λάζαρος ἀπέθανε· καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν. Εἶπεν οὖν Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, τοῖς συμμαθηταῖς· Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. Ἐλθὼν οὖν ὁ Ἰησοῦς, εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. (Ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων, ὡς ἀπὸ σταδίων δεκαπέντε·) Καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν, ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. Ἡ οὖν Μάρθα, ὡς ἤκουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. Εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει· ἀλλὰ καὶ νῦν οἶδα, ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεὸν, δώσει σοι ὁ Θεός. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἀναστήσεται ὁ ἀδελφός σου. Λέγει αὐτῷ Μάρθα. Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ· Ναὶ, Κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα, εἰποῦσα. Ὁ Διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε. Ἐκείνη, ὡς ἤκουσεν, ἐγείρεται ταχὺ, καὶ ἔρχεται πρὸς αὐτόν. (Οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην· ἀλλ' ἦν ἐν τῷ τόπῳ, ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα.) Οἱ οὖν Ἰουδαῖοι, οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ, καὶ παραμυθούμενοι αὐτὴν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες· Ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ. Ἡ οὖν Μαρία, ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, λέγουσα αὐτῷ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. Ἰησοῦς οὖν, ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε· Ποῦ τεθείκατε αὐτόν; Λέγουσιν αὐτῷ· Κύριε, ἔρχου καὶ ἴδε. Ἐδάκρυσεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Ἴδε πῶς ἐφίλει αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον· Οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι, ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; Ἰησοῦς οὖν, πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον. Ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. Λέγει ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα· Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι ὅτι, ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ; Ἦραν οὖν τὸν λίθον, οὗ ἦν ὁ τεθνηκὼς κείμενος. Ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω, καὶ εἶπε· Πάτερ, εὐχαριστῶ σοι, ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ἤδειν, ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. Καὶ ταῦτα εἰπὼν, φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω. Καὶ ἐξῆλθεν ὁ τεθνηκὼς, δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις· καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν. Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν, καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ.

Εἰς τὸν Ὄρθρον.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΑ. *1—17.*

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα καὶ ἦλθεν εἰς Βηθφαγὴ, πρὸς τὸ ὄρος τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐλαιῶν, τότε ἀπέστειλε δύο Μαθητὰς, λέγων αὐτοῖς. Πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν· καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς· λύσαντες, ἀγάγετέ μοι. Καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε· Ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστελεῖ αὐτούς. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ Προφήτου, λέγοντος· Εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ, ὁ Βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. Πορευθέντες δὲ οἱ Μαθηταὶ, καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισαν ἐπάνω αὐτῶν. Ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ· ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. Οἱ δὲ ὄχλοι, οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες· Ὡσαννὰ τῷ Υἱῷ Δαυῒδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη πᾶσα ἡ πόλις, λέγουσα· Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον· Οὗτός ἐστιν Ἰησοῦς ὁ Προφήτης, ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Ἰδόντες δὲ οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς τὰ θαυμάσια, ἃ ἐποίησε, καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας Ὡσαννὰ τῷ Υἱῷ Δαυῒδ, ἠγανάκτησαν, καὶ εἶπον αὐτῷ. Ἀκούεις, τί οὗτοι λέγουσιν; Ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· Ναί· οὐδέποτε ἀνέγνωτε ὅτι, Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; Καὶ καταλιπὼν αὐτοὺς, ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν, καὶ ηὐλίσθη ἐκεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΒΑΪΩΝ.

Προκείμενον. ἦχος δ!

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ Δ! 4—10.

Ἀδελφοί, χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. Ὁ Κύριος ἐγγύς. Μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε. Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

ΤΗ ΚΥΡ. ΤΩΝ ΒΑΪΩΝ. ΕΥΑΓ. ΛΕΙΤΟΥΡΓΙΑΣ.

Ἐκ τοῦ κατὰ Ἰωάννην Κεφ. ΙΒ. 1—18.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ. Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. Λέγει οὖν εἷς ἐκ τῶν Μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν παραδιδόναι· Διὰ τί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν. Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν. Ἐβουλεύσαντο δὲ οἱ Ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν· ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται, ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ἀπάντησιν αὐτῷ, καὶ ἔκραζον· Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ αὐτό, καθώς ἐστι γεγραμμένον· Μὴ φοβοῦ, θύγατερ Σιών· ἰδοὺ, ὁ Βασιλεύς σου ἔρχεται, καθήμενος ἐπὶ πῶλον ὄνου. Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ Μαθηταὶ αὐτοῦ τὸ πρῶτον· ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. Ἐμαρτύρει οὖν ὁ ὄχλος, ὁ ὢν μετ' αὐτοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον.

---

† ΙΕΡΕΥΣ
ΒΑΣΙΛΕΙΟΣ Χρ. ΓΚΛΑΪΤΣΟΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΜΕΡΟΥΣ

ΗΤΟΙ

ΤΩΝ ΣΑΒΒΑΤΟ-ΚΥΡΙΑΚΩΝ.

Τῶν ἑωθινῶν καὶ τῶν τῆς Λειτουργίας Εὐαγγελίων καὶ ἀποστολικὴν περικοπὴν τοῦ ὅλου ἐνιαυτοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΥΠΟΥΡΓΕΙΟΝ ΠΟΛΙΤ. ΕΠΙΣΤ.
ΚΕΝΤΡ. ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Η ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΕΒΔΟΜΑΣ

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὸν ἑξάψαλμον, ψάλλομεν ἀργῶς τὸ, Ἀλληλούϊα τετράκις· καὶ μετὰ, τὸ παρὸν τροπάριον ἐκ τρίτου. Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· Πρεσβείαις τῶν Ἀσωμάτων σῶσον ἡμᾶς.

Ὁ δεύτερος χορὸς τὸ αὐτό.

Καὶ πάλιν ὁ πρῶτος χορὸς τὸ ὅμοιον, συντομότερον.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· διὰ τῆς Θεοτόκου, ἐλέησον ἡμᾶς.

Εἶτα Στιχολογοῦμεν ψαλτήριον μετὰ τῶν μετανοιῶν.

Μετὰ δὲ τὴν ά. Στιχολογ. ψάλλομεν ἀργῶς τὰ ἑπόμενα τρία Καθίσματα· Τὰ δύο πρῶτα ἀνὰ μίαν καὶ τὸ τελευταῖον δίς.

Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Τὰ πάθη τὰ σεπτά, ἡ παροῦσα ἡμέρα, ὡς φῶτα σωστικά, ἀ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νατέλλει τῷ κόσμῳ· Χριστὸς γὰρ ἐπείγεται, τοῦ παθεῖν ἀγαθότητι. ὁ τὰ σύμπαντα, ἐν τῇ δρακὶ περιέχων, καταδέχεται, ἀναρτηθῆναι ἐν ξύλῳ, τοῦ σῶσαι τὸν ἄνθρωπον.

Μετὰ δὲ τὴν β'. Στιχολογίαν, τὸ παρὸν Κάθισμα.

Ἄρατε Κριτά, ἐν σαρκὶ πῶς ὡράθης, καὶ ἔρχῃ ὑπ' ἀνδρῶν, παρανόμων κτανθῆναι, ἡμῶν τὸ κατάκριμα, κατακρίνων τῷ πάθει σου; Ὅθεν αἴνεσιν, μεγαλωσύνην καὶ δόξαν, ἀναπέμποντες, τῇ ἐξουσίᾳ σου Λόγε, συμφώνως προσφέρομεν.

Μετὰ δὲ τὴν γ'. Στιχολογίαν, τὸ παρὸν Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν, καὶ Λόγον.

Τῶν Παθῶν τοῦ Κυρίου τὰς ἀπαρχάς, ἡ παροῦσα ἡμέρα λαμπροφορεῖ. Δεῦτε οὖν φιλέορτοι, ὑπαντήσωμεν ἅσμασιν· ὁ γὰρ Κτίστης ἔρχεται, σταυρὸν καταδέξασθαι, ἑτασμοὺς καὶ μάστιγας, Πιλάτῳ κρινόμενος· ὅθεν καὶ ἐκ δούλου, ῥαπισθεὶς ἐπὶ κόρρης, τὰ πάντα προσίεται, ἵνα σώσῃ τὸν ἄνθρωπον. Διὰ τοῦτο βοήσωμεν· Φιλάνθρωπε Χριστὲ ὁ Θεός, τῶν πταισμάτων δώρησαι τὴν ἄφεσιν, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὰ ἄχραντα πάθη σου.

Εὐθὺς ὁ Ἱερεύς· « Καὶ ὑπὲρ τοῦ καταξιοθῆναι ἡμᾶς » κ. τ. λ.

Καὶ λέγει τὸ παρὸν Εὐαγγέλιον τοῦ Ὄρθρου.

Ἐκ τοῦ κατὰ Ματθαῖον, ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Κεφ. ΚΑ. 18—43.

Τῷ καιρῷ ἐκείνῳ, ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασε. Καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ, ἦλθεν ἐπ' αὐτὴν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰμὴ φύλλα μόνον· καὶ λέγει αὐτῇ Μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. Καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ. Καὶ ἰδόντες οἱ Μαθηταὶ, ἐθαύμασαν λέγοντες· Πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν, καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε· Ἄρθητι, καὶ βληθητι εἰς τὴν θάλασσαν, γενήσεται. Καὶ πάντα ὅσα ἂν αἰτήσητε ἐν τῇ προσευχῇ, πιστεύοντες, λήψεσθε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ Ἱερόν, προσῆλθον αὐτῷ διδάσκοντι οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; Οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς, λέγοντες· Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ· ἐρεῖ ἡμῖν· Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων· φοβούμεθα τὸν ὄχλον, πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ, εἶπον· Οὐκ οἴδαμεν. Ἔφη αὐτοῖς καὶ αὐτός· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπος εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ, εἶπε· Τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου· Ὁ δὲ ἀποκριθείς, εἶπεν· Οὐ θέλω· ὕστερον δὲ μεταμεληθείς, ἀπῆλθε. Καὶ προσελθὼν τῷ δευτέρῳ, εἶπεν ὡσαύτως. Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ἐγώ, Κύριε· καὶ οὐκ ἀπῆλθε. Τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; Λέγουσιν αὐτῷ· Ὁ πρῶτος. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν λέγω ὑμῖν, ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες, οὐ μετεμελήθητε ὕστερον, τοῦ πιστεῦσαι αὐτῷ. Ἄλλην παραβολὴν ἀκούσατε. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅς τις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνόν, καὶ ᾠκοδόμησε πύργον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοί, ἰδόντες τὸν υἱόν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς· καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς Γραφαῖς· « Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει, ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

Μετὰ δὲ τὸν Ν'. ψάλλομεν τὸν Κανόνα εἰς τέσσαρα.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ ά. Ἦχος δ'. Ὁ Εἱρμός.

» Τῷ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προ-» στάγματι, ἀναξηράναντι, καὶ πεζεύσαι δι' αὐτῆς τὸν Ἰσραηλίτ-» την λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δε-» δόξασται.

Τροπάρια.

Ἡ ἀπόῤῥητος, Λόγου Θεοῦ κατάβασις, ὅπερ Χριστὸς αὐτός ἐστι, Θεὸς καὶ ἄνθρωπος, τὸ Θεὸς οὐχ ἁρπαγμὸν, εἶναι ἡγησάμενος, ἐν τῷ μορφοῦσθαι δοῦλον, δεικνύει τοῖς Μαθηταῖς· ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι, αὐτὸς ἐλήλυθα, οὐ τὴν μορφὴν ὁ Πλαστουργὸς ἐκὼν περίκειμαι, τῷ πτωχεύσαντι Ἀδὰμ, ὁ πλουτῶν Θεότητι, θεῖναι ἐμήνυτε αὐτοῦ ψυχὴν ἀντίλυτρον, ὁ ἀπαθὴς Θεότητι.

Καὶ πάλιν Ἡ Καταβασία· « Τῷ τὴν ἄβατον ».

Κοντάκιον. Ἦχος πλ. δ'. « Ὡς ἀπαρχὰς τῆς φύσεως ».

Ὁ Ἰακὼβ ὠδύρετο, τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἄρματι, ὡς βασιλεὺς τιμώμενος· τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδυναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ νέμοντος στέφος ἄφθαρτον.

Ὁ Οἶκος.

Ἐπὶ τῷ ὀδυρμῷ νῦν προσθήσωμεν ὀδυρμὸν, καὶ ἐκχέωμεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δάκρυα, μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι, Ἰωσὴφ τὸν ἀοίδιμον καὶ σώφρονα, τὸν δουλωθέντα μὲν τῷ σώματι, τὴν ψυχὴν δὲ ἀδούλωτον συντηροῦντα, καὶ Αἰγύπτου παντὸς κυριεύσαντα· ὁ Θεὸς γὰρ παρέχει τοῖς δούλοις αὐτοῦ στέρος ἄρθαρτον.

Συναξάριον τοῦ Μηναίου τῆς ἡμέρας, εἶτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ Μεγάλῃ Δευτέρᾳ, μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ Παγκάλου, καὶ τῆς ὑπὸ τοῦ Κυρίου καταρασθείσης καὶ ξηρανθείσης συκῆς.

Σώφρων Ἰωσὴφ, δίκαιος κράτωρ ὤφθη,
Καὶ σιτοδότης· ὢ καλῶν θημωνία!
Τὴν Συναγωγὴν, συκῆν Χριστὸς, Ἑβραίων,
Καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
Ἀρᾷ ξηραίνει· ἧς φύγωμεν τὸ πάθος.

Ταῖς τοῦ Παγκάλου Ἰωσὴφ πρεσβείαις Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

» Ἔφριξε παίδων εὐαγῶν, τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶ-
» μα, καὶ εἶξε τὸ τραφὲν, ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ. Ἀεί-
» ζωου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπε-
» το· Τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς
» πάντας τοὺς αἰῶνας ».

Τροπάρια.

Ὑμᾶς μου τότε Μαθητὰς, πάντες γνώσονται εἰ τὰς ἐμὰς ἐντολὰς τηρήσετε, φησὶν ὁ Σωτὴρ τοῖς φίλοις πρὸς Πάθος μολῶν Εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσι· καὶ ταπεινὰ φρονοῦντες, ἀνυψώθητε· καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπεριψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως ἔμπαλιν ὑμῖν, ἐθνικῆς ἔστω τὸ κράτος ὁμογενῶν· οὐ κλῆρος γὰρ ἐμὸς, τυραννὶς δὲ γνώμη αὐθαίρετος. Ὁ οὖν πρόκριτος ἐν ὑμῖν εἶναι θέλων, τῶν ἄλλων ἔστω πάντων ἐσχατώτερος· καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ ἡ Καταβασία. « Ἤρριξε παίδων εὐαγῶν ». 205.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Ἐμεγάλυνας Χριστὲ, τὴν τεκοῦσάν σε Θεοτόκον, ἀφ' ἧς ὁ » Πλάστης ἡμῶν, ὁμοιοπαθὲς περιέθου σῶμα, τὸ τῶν ἡμετέ- » ρων λυτήριον ἀγνοημάτων· ταύτην μακαρίζοντες, πᾶσαι γε- » νεαὶ, σὲ μεγαλύνομεν.

Τροπάρια.

Ῥύπον πάντα ἐμπαθῆ, ἀπωσάμενοι, ἐπάξιον τῆς θείας Βα- σιλείας, γνωμὴν ἀναλάβετε ἔμφρονα, τοῖς σοῖς Ἀποστόλοις προέφης, ἡ πάντων σοφία, ἐν ᾗ δοξασθήσεσθε, λάμποντες ἡλίου τηλαυγέστερον.

Ἀφορῶντες εἰς ἐμὲ, εἶπας Κύριε τοῖς σεαυτοῦ μαθηταῖς, μὴ φρονεῖ- τε ὑψηλὰ, ἀλλὰ συναπάχθητε τοῖς ταπεινοῖς· ἐμὸν ὅπερ πίνω, πίε- τε ποτήριον, ὅτι ἐν τῇ Βασιλείᾳ τοῦ Πατρός μοι συνδοξασθήσεσθε.

Καταβασία « Ἐμεγάλυνας Χριστέ. »

Ἐξαποστειλάριον ψαλλόμενον ἀργῶς ἐκ τρίτου Ἦχος γ'.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου κεκοσμημένον, καὶ ἔν- δυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στο- λὴν τῆς ψυχῆς, Φωτοδότα καὶ σῶσον με.

Εἰς τοὺς Αἴνους ἱππῶμεν Στίχους δ'. καὶ ψάλλομεν τὰ πα- ρόντα Στιχηρὰ Ἰδιόμελα, δευτεροῦντες αὐτά. Ἦχος ά

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον Πάθος, τοῖς Ἀποστό- λοις ἔλεγεν ἐν τῇ ὁδῷ· Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου, καθὼς γέγραπται περὶ αὐ- τοῦ. Δεῦτε οὖν καὶ ἡμεῖς κεκαθαρμέναις διανοίαις, συμπορευθῶ- μεν αὐτῷ καὶ συσταυρωθῶμεν, καὶ νεκρωθῶμεν δι' αὐτόν, ταῖς τοῦ βίου ἡδοναῖς· ἵνα καὶ συζήσωμεν αὐτῷ, καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ· Οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ, διὰ τὸ παθεῖν, ἀλλὰ ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν· καὶ συνανυψῶ ὑμᾶς εἰς τὴν ἄνω Ἱερουσαλὴμ, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦχος πλ. ά.

Φθάσαντες πιστοί, τό σωτήριον πάθος Χριστοῦ τοῦ Θεοῦ τήν ἄφατον αὐτοῦ μακροθυμίαν δοξάσωμεν· ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ, συνεγείρῃ καί ἡμᾶς, νεκρωθέντας τῇ ἁμαρτίᾳ, ὡς ἀγαθός καί φιλάνθρωπος.

Δόξα, καί νῦν. Ἦχος πλ ά.

Κύριε, ἐρχόμενος πρός τό πάθος, τούς ἰδίους στηρίζων Μαθητάς ἔλεγες, κατ' ἰδίαν παραλαβών αὐτούς· Πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε, ὧν πάλαι εἶπον ὑμῖν, ὅτι Προφήτην πάντα οὐ γέγραπται, εἰ, μή ἐν Ἱερουσαλήμ ἀποκτανθῆναι; Νῦν οὖν καιρός ἐφέστηκεν, ὃν εἶπον ὑμῖν· ἰδού γάρ παραδίδομαι ἁμαρτωλῶν χερσίν ἐμπαιχθῆναι, οἳ καί σταυρῷ με προσπήξαντες, ταφῇ παραδόντες, ἐξεδελυγμένον λογιοῦνται ὡς νεκρόν· ἀλλ' ὅμως θαρσεῖτε· τριήμερος γάρ ἐγείρομαι, εἰς ἀγαλλίασιν πιστῶν, καί ζωήν τήν αἰώνιον.

Εἶτα, Σοί δοξα πρέπει. τό, Δόξα σοι τῷ δείξαντι τό φῶς. Ὁ Ἱερεύς τό, Πληρώσωμεν τήν δέησιν· Καί τήν ἐκφώνησιν.

Εἰς τά Ἀπόστιχα, τά παρόντα Στιχ. Ἰδιόμελα· Ἦχος πλ. ά.

Κύριε, πρός τό μυστήριον τό ἀπόῤῥητον τῆς σῆς οἰκονομίας, οὐκ ἐξαρκοῦσα ἡ τῶν ἐκ Ζεβεδαίου μήτηρ, ᾐτεῖτό σοι προσκαίρου βασιλείας τιμήν, τοῖς ἑαυτῆς δωρήσασθαι τέκνοις· ἀλλ' ἀντί ταύτης, ποτήριον θανάτου ἐπηγγείλω πιεῖν τοῖς φίλοις σου· ὃ ποτήριον πρό τούτων πιεῖν ὁ αὐτός ἔλεγες, ἁμαρτημάτων καθαρτήριον. Διό σοι βοῶμεν· Ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, δόξα σοι.

Στίχ. Ἐνεπλήσθημεν τό πρωΐ τοῦ ἐλέους σου Κύριε.

Κύριε, τά τελεώτατα φρονεῖν, τούς οἰκείους παιδεύων Μαθητάς, μή ὁμοιοῦσθαι τοῖς ἔθνεσιν ἔλεγες, εἰς τό κατάρχειν τῶν ἐλαχιστοτέρων· οὐχ οὕτω γάρ ἔσται ὑμῖν, τοῖς ἐμοῖς Μαθηταῖς, ὅτι πτωχός θέλων ὑπάρχω· ὁ πρῶτος οὖν ὑμῶν ἔστω πάντων διάκονος, ὁ δέ ἄρχων, ὡς ὁ ἀρχόμενος, ὁ προκριθείς δέ ὡς ὁ ἔσχατος· καί γάρ ἐλήλυθα αὐτός, τῷ πτωχεύσαντι Ἀδάμ διακονῆσαι, καί λύτρον δοῦναι ἀντί πολλῶν, τήν ψυχήν τῶν βοώντων μοι· Δοξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς.

Ἦχος πλ. δ'.

Τῆς ξηρανθείσης συκῆς διὰ τὴν ἀκαρπίαν, τὸ ἐπιτίμιον φοβηθέντες ἀδελφοί, καρποὺς ἀξίους τῆς μετανοίας, προσάξωμεν Χριστῷ, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Δευτέραν Εὖαν τὴν Αἰγυπτίαν, εὑρὼν ὁ δράκων, διὰ ῥημάτων ἔσπευδε κολακείας, ὑποσκελίσαι τὸν Ἰωσήφ· ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα, ἔφυγε τὴν ἁμαρτίαν, καὶ γυμνὸς οὐκ ἠσχύνετο, ὡς ὁ Πρωτόπλαστος πρὸ τῆς παρακοῆς· αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ, ἐλέησον ἡμᾶς.

Εἶτα, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι· Τρισάγιον· καὶ τὸ Κοντάκιον· ὁ Ἰακὼβ ὠδύρετο κτλ. ζήτει Σελὶς, 204. Εἶτα τὸ Κύριε ἐλέησον ιβ'. Ἐπουράνιε Βασιλεῦ· καὶ ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, Καὶ ἀπόλυσις.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΔΕΥΤΕΡΑ·

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Μετὰ τὸν Προοιμιακὸν, τὰ Πρὸς Κύριον. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ί. καὶ ψάλλομεν τὰ ἐν τῷ Ὄρθρῳ εἰς τοὺς Αἴνους, ὡς ἐφεξῆς, Ἰδιόμ. δευτεροῦντες τὰ πρῶτα τέσσαρα.

Ἐρχόμενος ὁ Κύριος.	Φθάσαντες πιστοί.
Κύριε, ἐρχόμενος.	Κύριε, πρὸς τὸ μυστήριον.
Κύριε, τὰ τελεώτατα.	Τῆς ξηρανθείσης συκῆς.
Δόξα, καὶ νῦν.	Δευτέραν Εὖαν. ζήτει Σελὶς, 206.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τὸ Φῶς ἱλαρὸν καὶ εὐθὺς, τὰ δύο Ἀναγνώσματα. τὸ Κατευθυνθήτω. Καὶ μετὰ, τὸ παρὸν Εὐαγ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΔ. 3—35

Τῷ καιρῷ ἐκείνῳ, καθημένου τοῦ Ἰησοῦ ἐπὶ τοῦ ὄρους τῶν Ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ κατ' ἰδίαν, λέγοντες· Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· βλέπετε, μή τις ὑμᾶς πλανήσῃ· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ἐγώ εἰμι ὁ Χριστός· καὶ πολλοὺς πλανήσουσι. Μελλήσετε δὲ ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ὁρᾶτε, μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ' οὔπω ἐστὶ τὸ τέλος. Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ ἔσονται λιμοὶ, καὶ λοιμοὶ, καὶ σεισμοὶ κατὰ τόπους. Πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. Τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν, καὶ ἀποκτενοῦσιν ὑμᾶς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. Καὶ τότε σκανδαλισθήσονται πολλοὶ, καὶ ἀλλήλους παραδώσουσι, καὶ μισήσουσιν ἀλλήλους. Καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται, καὶ πλανήσουσι πολλούς. Καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. Καὶ κηρυχθήσεται τοῦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ, εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος. Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ἐν τόπῳ ἁγίῳ (ὁ ἀναγινώσκων νοείτω)· τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη· ὁ ἐπὶ τοῦ δώματος, μὴ καταβαινέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ· καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω, ἆραι τὰ ἱμάτια αὐτοῦ. Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. Προσεύχεσθε δὲ, ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος, μηδὲ ἐν Σαββάτῳ. Ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν, οὐδ' οὐ μὴ γένηται. Καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. Τότε ἐάν τις ὑμῖν εἴπῃ· Ἰδοὺ, ὧδε ὁ Χριστὸς, ἢ ὧδε· μὴ πιστεύσητε. Ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοπροφῆται, καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. Ἰδοὺ, προείρηκα ὑμῖν. Ἐὰν οὖν εἴπωσιν ὑμῖν· Ἰδοὺ, ἐν τῇ ἐρήμῳ ἐστί μὴ ἐξέλθητε. Ἰδοὺ, ἐν τοῖς ταμείοις· μὴ πιστεύσητε. Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν. καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ Δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. Καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς Ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης· καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν, ἕως ἄκρων αὐτῶν. Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς, καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε, ὅτι ἐγγὺς τὸ θέρος. Οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. Ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, ἕως ἂν πάντα ταῦτα γένηται Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Ἡ αὐτὴ Ἀκολουθία τοῦ τε Ὄρθρου καὶ τῆς Λειτουργίας ὀφείλει γίνεσθαι καὶ ἐν τῇ Μεγάλῃ Τρίτῃ καὶ τῇ Μεγάλῃ Τετάρτῃ, ἀπαραλλάκτως ὡς σήμερον. Ἐν ταύταις δὲ ταῖς τρισὶν ἡμέραις ἐσθίομεν ξηροφαγίαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὸν Ἐξάψαλμον ψάλλομεν· τὸ Ἀλληλουάριον τετράκις.

Καὶ μετά, τὸ παρὸν Τροπάριον ἐκ τρίτου. Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· Πρεσβείαις τοῦ Προδρόμου, σῶσον ἡμᾶς.

Καὶ πάλιν Ἰδοὺ ὁ Νυμφίος, σύντομον· εἰς δὲ τὸ τέλος διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Μετὰ τὴν ἁ Στιχολογ· τοῦ ψαλτηρίου ψάλλομεν τὰ ἑπόμενα τρία καθίσματα τὰ δύο πρῶτα ἀνὰ μίαν, καὶ τὸ τελευταῖον δίς.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὸν νυμφίον ἀδελφοὶ ἀγαπήσωμεν, τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, ἐν ἀρεταῖς ἐκλάμποντες καὶ πίστει ὀρθῇ, ἵνα ὡς αἱ φρόνιμοι, τοῦ Κυρίου Παρθένοι, ἕτοιμοι εἰσέλθωμεν, σὺν αὐτῷ εἰς τοὺς γάμους· ὁ γὰρ Νυμφίος δῶρον ὡς Θεός, πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.

Μετὰ τὴν β'. Στιχολογίαν, τὸ παρὸν Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Βουλευτήριον Σωτῆρ, παρανομίας κατὰ σοῦ, Ἱερεῖς καὶ Γραμματεῖς, φθόνῳ ἀθροίσαντες δεινῶς, εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν· ὅθεν ἀναιδῶς, ἐξεπορεύετο, ἐλάλει κατὰ σοῦ, τοῖς παρανόμοις λαοῖς· Τί μοι φησὶ παρέχετε, κἀγὼ ὑμῖν αὐτὸν παρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δώσω εἰς χεῖρας ὑμῶν; Τῆς κατακρίσεως τούτου ῥῦσαι, Κύριε τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν γ'. Στιχολογ. τὸ παρὸν Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ λόγον.

Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ, κατὰ τοῦ Διδασκάλου ὁ δυσμενὴς, κινεῖται βουλεύεται, μελετᾷ τὴν παράδοσιν, τοῦ φωτὸς ἐκπίπτει, τὸ σκότος δεχόμενος, συμφωνεῖ τὴν πρᾶσιν, πωλεῖ τὸν ἀτίμητον· ὅθεν καὶ ἀγχόνην. ἀμοιβὴν ὧν περ ἔδρα, εὑρίσκει ὁ ἄθλιος, καὶ ἐπώδυνον θάνατον. Τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι, μερίδος Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄρεσιν δωρούμενος, τοῖς ἑορταζουσι πόθῳ, τὸ ἄχραντον Πάθος σου.

Δόξα καὶ νῦν. Τὸ αὐτό.

Εἶτα, Ὁ Ἱερεύς· καὶ ὑπὲρ τοῦ καταξιοθῆναι ἡμᾶς κτλ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΒ. 15—46. ΚΓ. 1—39.

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον οἱ Φαρισαῖοι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ Καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς Μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρωδιανῶν, λέγοντες Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ, καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων. Εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι. ἢ οὔ; Γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν, εἶπε Τί με πειράζετε, ὑποκριταί; ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου Οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη, καὶ ἡ ἐπιγραφή; Λέγουσιν αὐτῷ· Καίσαρος Τότε λέγει αὐτοῖς· Ἀπόδοτε οὖν τὰ Καίσαρος, Καίσαρι. καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν καὶ ἀφέντες αὐτὸν, ἀπῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, προσῆλθον Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀναστασιν· καὶ ἐπηρώτησαν αὐτὸν, λέγοντες· Διδάσκαλε, Μωσῆς εἶπεν· Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα. ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φῷ αὐτοῦ. Ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος, γαμήσας ἐτελεύτησε· καὶ μὴ ἔχων σπέρμα, ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ. Ὁμοίως καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. Ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. Ἐν τῇ οὖν ἀναστάσει, τίνος τῶν ἑπτὰ ἔσται γυνή; πάντες γὰρ ἔσχον αὐτήν. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς Ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσι. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ, λέγοντος· « Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ » οὐκ ἔστιν ὁ Θεὸς, Θεὸς νεκρῶν, ἀλλὰ ζώντων. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Οἱ δὲ Φαρισαῖοι, ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τῷ αὐτό. Καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν Νομικὸς, πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· » αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. Δευτέρα δὲ ὁμοία αὐτῇ « Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. » Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; Λέγουσιν αὐτῷ· Τοῦ Δαυίδ. Λέγει αὐτοῖς· Πῶς οὖν Δαυὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; » Εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; Καὶ οὐδεὶς ἠδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι. Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις, καὶ τοῖς Μαθηταῖς αὐτοῦ, λέγων· Ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποιοῦσι. Δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα, καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων· τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τά. Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν. Φιλοῦσι τε τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις, καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων, Ῥαββί, Ῥαββί. Ὑμεῖς δὲ μὴ κληθῆτε Ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. Μηδὲ κληθῆτε καθηγηταί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής, ὁ Χριστός. Ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος. Ὅς τις δὲ ὑψώσει ἑαυτὸν, ταπεινωθήσεται· καὶ ὅς τις ταπεινώσει ἑαυτὸν, ὑψωθήσεται. Οὐαὶ δὲ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα. Οὐαὶ ὑμῖν, Γρομματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηράν, ποιῆσαι ἕνα προσήλυτον· καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· Ὅς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; Καί· Ὅς ἐὰν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν· ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. Μωροὶ καὶ τυφλοί· τί γὰρ μεῖζον, τὸ δῶρον, ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; Ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ, καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ. Καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν αὐτῷ, καὶ ἐν τῷ κατοικοῦντι αὐτόν. Καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ, ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ, καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύσμον, καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον· καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν· ταῦτα ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. Ὁδηγοὶ τυφλοὶ, οἱ διϋλίζοντες τὸν κώνωπα τὴν δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κάμηλον καταπίνοντες. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀκρασίας. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. Οὕτω καὶ ὑμεῖς, ἔξωθεν μὲν φαίνεσθαι τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· Εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν Προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς Προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς Προφήτας, καὶ Σοφοὺς, καὶ Γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς Προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτοῖς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν· Οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. »

Ὁ Ν. καὶ μετὰ τοῦτον, Συναπτὴ μικρά· εἶτα τὸ Κοντάκιον.

Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ψυχὴ, τοῦ τέλους ἐννοήσασα, καὶ τὴν ἐκκοπὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον φιλοπόνως ἔργασαι, ταλαίπωρε, γρηγοροῦσα καὶ κράζουσα· Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Ὁ οἶκος.

Τί ῥᾳθυμεῖς, ἀθλία ψυχή μου; τί φαντάζῃ ἀκαίρως μεριμνας ἀφελεῖς; τί ἀσχολεῖς πρὸς τὰ ῥέοντα; ἐσχάτη ὥρα ἐστὶν ἀπάρτι, καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα· ἕως καιρὸν κεκτημένη, ἀνάνηψον κράζουσα· Ἡμάρτηκά σοι Σωτήρ μου· μὴ ἐκκόψῃς με, ὥσπερ τὴν ἄκαρπον συκῆν, ἀλλ' ὡς εὔσπλαγχνος, Χριστέ, κατοικτείρησον, φόβῳ κραυγάζουσαν· Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τρίτῃ, τῆς τῶν δέκα Παρθένων παραβολῆς, τῆς ἐκ τοῦ ἱεροῦ Εὐαγγελίου, μνείαν ποιούμεθα.

Τρίτην μεγίστην Παρθένους δέκα φέρει,
Νίκην φερούσας ἀδεκάστου Δεσπότου.

Ἀλλ' ὦ Νυμφίε Χριστέ, μετὰ τῶν φρονίμων ἡμᾶς συναρίθμησον Παρθένων, καὶ τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἶτα ἄρχεται ὁ δεύτερος χορὸς ψάλ. τὴν ἡ. Ὠδὴν εἰς τέσσαρα.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ ἡ. Ἦχος β'. Ὁ Εἱρμός.

» Τῷ δόγματι, τῷ τυραννικῷ, οἱ ὅστιοι τρεῖς Παῖδες μὴ πει-
» σθέντες, ἐν τῇ καμίνῳ βληθέντες, Θεὸν ὡμολόγουν ψάλλον-
» τες· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Τροπάρια.

Ῥᾳθυμίαν, ἄποθεν, ἡμῶν, βαλλώμεθα καὶ φαιδραῖς ταῖς λαμπάσι, τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ, ὕμνοις συναντίσωμεν· Εὐλογεῖτε βοῶντες, τὰ ἔργα τὸν Κύριον.

Ἱκανούσθω, τὸ κοινωνικόν, ψυχῆς ἡμῶν ἔλαιον ἐν ἀγγείοις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπως ἐπάθλων μὴ θέντες καιρὸν, ἐμπορίας ψάλλωμεν· Εὐλογεῖτε τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Τὸ τάλαντον, ὅσοι πρὸς Θεοῦ, ἐδέξασθε, ἰσοδύναμον χάριν, ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ. αὐξήσατε ψάλλοντες· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἡ Καταβασία. Τῷ «δόγματι, τῷ τυραννικῷ.» κτλ. Σελ. 216.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Ἡ τὸν ἀχώρητον Θεὸν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν » τῷ κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε.

Τροπάρια.

Τοῖς μαθηταῖς ὁ ἀγαθὸς, γρηγορεῖτε ἔφησας· ἦ γὰρ ὥρα ἥξει ὁ Κύριος, ἀγνοεῖτε, ἀποδοῦναι ἑκάστῳ.

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ, παρουσίᾳ Δέσποτα, δεξιοῖς προβάτοις με σύνταξον, τῶν πταισμάτων, παριδὼν μου τὰ πλήθη.

Ἡ Καταβασία. «Ἡ τὸν ἀχώρητον Θεόν.»

Εἶτα, τὸ Ἐξαποστειλ. ἐκ γ'. Τὸν νυμφῶνά σου βλέπω· Σελ. 206.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν τὰ παρόντα δύο Ἰδιόμελα, δευτεροῦντες αὐτά. Ἦχος ά.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου. πῶς εἰσελεύσομαι ὁ ἀνάξιος: ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβαλοῦμαι ὑπὸ τῶν Ἀγγέλων· καθάρισον Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ἦχος β'.

Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι Νυμφίε Χριστὲ καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος· τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου, μὴ κλείσῃς μοι Δέσποτα· ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον ἐξανάστησον, καὶ ταῖς φρονίμοις συνεισάγαγε Παρθένοις, εἰς νυμφῶνα τὸν σὸν, ὅπου ἦχος καθαρὸς ἑορταζόντων, καὶ βοώντων ἀπαύστως· Κύριε δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δόξα, καὶ νῦν. Ἦχος δ'.

Τοῦ κρύψαντος τὸ τάλαντον, τὴν κατάκρισιν ἀκούσασα ψυχή, μὴ κρύπτε λόγον Θεοῦ· κατάγγελλε τὰ θαυμάσια αὐτοῦ, ἵνα πλεονάζουσα τὸ χάρισμα, εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Εἰς τὰ Ἀπόστιχα, τὰ παρόντα Ἰδιόμελα. Ἦχος πλ. β'.

Δεῦτε πιστοί, ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ· νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον, καὶ ἀναλόγως ἕκαστος, πολυπλασιάσωμεν, τὸ τῆς χάριτος τάλαντον· ὁ μὲν σοφίαν κομιείτω, δι' ἔργων ἀγαθῶν· ὁ δὲ λειτουργίαν λαμπρότητος ἐπιτελείσθω· κοινωνείτω δὲ τοῦ λόγου. πιστὸς τῷ ἀμυήτῳ· καὶ σκορπιζέτω τὸν πλοῦτον, πένησιν ἄλλος· οὕτω γὰρ τὸ δάνειον πολυπλασιάσομεν, καὶ ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος, δεσποτικῆς χαρᾶς ἀξιωθῶμεν· αὐτῆς ἡμᾶς καταξίωσον, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου Κύριε.

Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' Ἀγγελικῶν Δυνάμεων, καὶ καθίσῃς ἐν θρόνῳ, Ἰησοῦ, διακρίσεως, μή με Ποιμὴν, ἀγαθὲ, διαχωρίσῃς· ὁδοὺς δεξιὰς γὰρ οἶδας, διεστραμμέναι δέ εἰσιν αἱ εὐώνυμοι· μὴ οὖν ἐρίφοις με, τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς, ἀλλὰ τοῖς ἐκ δεξιῶν, συναριθμήσας προβάτοις, σῶσόν με ὡς φιλάνθρωπος.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς

Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος, παρὰ πάντας ἀνθρώπους, ὁ συγκαλέσας ἡμᾶς, πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου, τὴν δυσείμονά μου μορφὴν, τῶν πταισμάτων ἀπαμφίασον, τῇ μεθέξει τῶν παθημάτων σου, καὶ στολὴν δόξης κοσμήσας, τῆς σῆς ὡραιότητος, δαιτυμόνα φαιδρὸν ἀνάδειξον, τῆς Βασιλείας σου ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον, ὁ Δεσπότης ἐμπιστεύει ψυχή μου· φόβῳ δέξαι τὸ χάρισμα· δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς, καὶ κτῆσαι φίλον τὸν Κύριον· ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς· Εἴσελθε δοῦλε, εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Αὐτῆς ἀξίωσόν με, Σωτὴρ τὸν πλανηθέντα, διὰ τὸ μέγα σου ἔλεος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα τὸ, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, Τρισάγιον, τὸ κοντάκ. Τὴν ὥραν ψυχὴ, τοῦ τέλους ἐννοήσασα. κτλ. ζήτει σελ. 215. Εἶτα τὸ Κύριε ἐλέησον ιδ'. Ἐπουράνιε Βασιλεῦ καὶ ἀπόλυσις.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΡΙΤΗ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακὸν, τὰ Πρὸς Κύριον. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἰστῶμεν Στίχ. ί. καὶ ψάλλομεν τὰ ἐν τῷ Ὄρθρῳ εἰς τοὺς Αἴνους ὡςέφεξῆς, Ἰδιόμ. δευτεροῦντες τὰ πρῶτα τέσσαρα.

Ἐν ταῖς λαμπρότησι. Ὁ τῇ ψυχῆς ῥαθυμία.
Τοῦ κρύψαντος τὸ τάλ. Δεῦτε πιστοὶ ἐπεργασώμεθα.
Ὅταν ἔλθῃς ἐν δόξῃ. Ὁ Νυμφίος ὁ κάλλει ὡραῖος.

Δόξα, καὶ νῦν. Ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον. Ζήτει ἅπαντα σελὶς 217.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τὸ Φῶς ἱλαρὸν καὶ εὐθὺς τὰ δύο Ἀναγνώσματα. τὸ Κατευθυνθήτω. Καὶ μετὰ, τὸ παρὸν Εὐαγ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΔ. 36—51. ΚΕ. 1—46. Κς'. 1—2.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ Ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ Πατήρ μου μόνος. Ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οὐκ ἔγνωσαν, ἕως ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· οὕτως ἔσται καὶ ἡ πα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Τότε δύο ἔσονται ἐν τῷ ἀγρῷ· ὁ εἷς παραλαμβάνεται, καὶ ὁ εἷς ἀφίεται. Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι· μία παραλαμβάνεται, καὶ μία ἀφίεται. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. Ἐκεῖνο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἄν, καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Τίς ἄρά ἐστιν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἐλθεῖν· καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους, ἐσθίειν δὲ καὶ πίνειν μετὰ τῶν μεθυόντων· ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου, ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει· καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι, καὶ αἱ πέντε μωραί· Αἵτινες μωραὶ, λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν, οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν, μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· Ἰδοὺ, ὁ Νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι, καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται· Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι, λέγουσαι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ Νυμφίος· καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι, λέγουσαι· Κύριε, Κύριε ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀμὴν λέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. Ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. Ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λογον. Καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε, ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη δὲ αὐτῷ ὁ κύριος αὐτοῦ. Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν, εἶπε· Κύριε, δύο τάλαντά μοι παρέδωκας ἴδε, ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. Ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον λαβὼν, εἶπε· Κύριε, ἔγνων σε, ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας, καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν. Ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ, ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. (Τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ). Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δοξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ. Καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη· καὶ ἀφοριεῖ αὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς ἀπ' ἀλλήλων, ὥτπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐριφίων. Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. Τοτε ἐρεῖ ὁ Βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου ἐπείνασα γὰρ, καὶ ἐδώκατε μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθε με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Τοτε ἀποκριθήσονται αὐτῷ οἱ δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν; ἢ διψῶντα, καὶ ἐποτήσαμεν; πότε δὲ σε εἴδομεν ξένον, καὶ συνηγάγωμεν; ἢ γυμνὸν, καὶ περιεβάλομεν; ποτε δὲ σε εἴδομεν ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ; Καὶ αποκριθεὶς ὁ Βασιλεὺς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅτον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατε μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγαγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετε με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνον, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; Τότε ἀποκριθήσεται αὐτοῖς, λέγων· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅτον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Καὶ ἐγένετο ὅτε ἐτελεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους, εἶπε τοῖς Μαθηταῖς αὐτοῦ· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας το Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὸν ἑξάψαλμον, ψάλλομεν ἀργῶς τὸ, Ἀλληλούϊα τετράκις· Εἶτα, τὸ παρὸν τροπάριον ἐκ τρίτου. Ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτός· καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα· ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα. Βλέπε οὖν ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς· ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν· Δυνάμει τοῦ Σταυροῦ σου, σῶσον ἡμᾶς.

Καὶ πάλιν ὁ πρῶτος χορὸς τὸ ὅμοιον, συντομώτερον. εἰς δὲ τὸ τέλος, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Μετὰ τὴν ἁ. Στιχολογ· τοῦ ψαλτηρίου ψάλ. τὰ ἑπόμενα τρία Καθίσμ. τὰ δύο πρῶτα ἀνὰ μίαν, καὶ τὸ τελευταῖον δίς.

Ἦχος γ'. Τὴν ὡραιότητα τῆς Παρθενίας σου.

Πόρνη προσῆλθέ σοι, μύρα σὺν δάκρυσι, κατακενοῦσά σου, ποσὶ Φιλάνθρωπε, καὶ δυσωδίας τῶν κακῶν, λυτροῦσαι τῇ κελεύσει σου· πνέων δὲ τὴν χάριν σου, μαθητὴς ὁ ἀχάριστος, ταύτην ἀποβάλλεται, καὶ βορβόρῳ συμφύρεται, φιλαργυρίᾳ ἀπεμπωλῶν σε. Δόξα Χριστὲ τῇ εὐσπλαγχνίᾳ σου.

Μετὰ δὲ τὴν β'. Στιχολογίαν, τὸ παρὸν Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἰούδας ὁ δόλιος, φιλαργυρίας ἐρῶν, προδοῦναί σε Κύριε, τὸν θησαυρὸν τῆς ζωῆς, δολίως ἐμελέτησεν. Ὅθεν καὶ παροινήσας, τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις· Τί μοι θέλετε δοῦναι, κἀγὼ παραδώσω ὑμῖν, εἰς τὸ σταυρῶσαι αὐτόν;

Μετὰ δὲ τὴν γ' Στιχολ. τὸ παρὸν Κάθισμα.

Ἦχος ἁ. Τὸν τάφον σου Σωτήρ.

Ἡ Πόρνη ἐν κλαυθμῷ, ἀνεβόα Οἰκτίρμον, ἐκμάσσουσα θερμῶς, τοὺς ἀχράντους σου πόδας, θριξὶ τῆς κεφαλῆς αὐτῆς, καὶ ἐκ βάθους στενάζουσα· Μὴ ἀπώσῃ με, μηδὲ βδελύξῃ Θεέ μου, ἀλλὰ δέξαι με, μετανοοῦσαν, καὶ σῶσον, ὡς μόνος φιλάνθρωπος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα, Ὁ Ἱερεύς· καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς κτλ.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΒ. 17—50.

Τῷ καιρῷ ἐκείνῳ, ἐμαρτύρει ὁ ὄχλος ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε, ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων, ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ, τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν, λέγοντες· Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. Ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω· καὶ ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ Πατήρ. Νῦν ἡ ψυχή μου τετάρακται· καὶ τί εἴπω; Πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην· Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· «Καὶ ἐδοξασα, καὶ πάλιν δοξάσω». Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· κἀγὼ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. (Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν). Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευον εἰς αὐτόν· ἵνα ὁ λόγος Ἡσαΐου τοῦ Προφήτου πληρωθῇ, ὃν εἶπε· «Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;» Διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· «Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστραφῶσι, καὶ ἰάσωμαι αὐτούς.» Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ, Ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόλουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον, ἤπερ τὴν δόξαν τοῦ Θεοῦ. Ἰησοῦς δὲ ἔκραξε, καὶ εἶπεν· Ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με· καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με. Ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ. Καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων, καὶ μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν. Οὐ γὰρ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν σμον. Ὁ ἀθετῶν ἐμὲ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ· ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε, τί εἴπω καὶ τί λαλήσω. Καὶ οἶδα, ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν ἐγὼ λαλῶ, καθὼς εἴρηκέ μοι ὁ Πατὴρ, οὕτω λαλῶ.

Μετὰ δὲ τὸν Ν'. ψάλλομεν τὸν Κανόνα εἰς τέσσαρα.

Ὠδὴ γ'. Ἦχος δ'. Ὁ Εἱρμός.

» Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας τὸ στόμα » μου ἐπ' ἐχθρούς μου· εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ » ψάλλειν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι » δίκαιος, πλὴν σοῦ Κύριε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τροπάρια.

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων, καὶ γνώμῃ συναθροίζεται κακοτρόπῳ, κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι, Χριστέ, ᾧ ψάλλομεν· Σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε.

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων, σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον, ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι, Χριστον, ᾧ ψάλλομεν· Σὺ εἶ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε.

Καὶ Ἡ Καταβασία· «Τῆς πίστεως ἐν πέτρᾳ με.» Σελ. 225.

Εἶτα Συναπτὴ μικρὰ, καὶ τὸ παρὸν Κοντάκ. ἦχος δ'. Ὁ ὑψωθείς.

Ὑπὲρ τὴν Πόρνην Ἀγαθὲ ἀνομήτας, δακρύων ὄμβρους οὐδαμῶς σοι προσῆξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι, πόθῳ ἀσπαζόμενος τοὺς ἀχράντους σου πόδας, ὅπως μοι τὴν ἄφεσιν, ὡς Δεσπότης παράσχῃς, τῶν ὀφλημάτων κράζοντι Σωτήρ· Ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Ο οἶκος.

Ὁ μετὰ τρίτον οὐρανόν.

Ἡ πρώην ἄτωτος γυνὴ, ἐξαίφνης σώφρων ὤφθη, μισήσασα τὰ ἔργα, τῆς αἰσχρᾶς ἁμαρτίας, καὶ ἡδονὰς τοῦ σώματος, διενθυμουμένη τὴν αἰσχύνην τὴν πολλὴν, καὶ κρίσιν τῆς κολάσεως, ἣν ὑποστῶτι πόρνοι καὶ ἄτωτοι· ὧν περ πρῶτος πέλω, καὶ πτοοῦμαι, ἀλλ' ἐμμένω τῇ φαύλῃ συνηθείᾳ ὁ ἄρρων· ἡ Πόρνη δὲ γυνὴ, πτοηθεῖσα, καὶ σπουδάσασα ταχὺ, ἦλθε βοῶσα πρὸς τὸν Λυτρωτήν· Φιλάνθρωπε καὶ οἰκτίρμον, ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Συναξάριον τοῦ Μηναίου τῆς ἡμέρας, εἶτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Τετάρτῃ, τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ Πόρνης γυναικὸς μνείαν ποιεῖσθαι οἱ θειότατοι Πατέρες ἐθέσπισαν, ὅτι πρὸ τοῦ σωτηρίου Πάθους μικρὸν τοῦτο γέγονε.

Γυνὴ βαλοῦσα σώματι Χριστοῦ μύρον
Τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

Ἀλλ' ὁ τῷ νοητῷ μύρῳ χρισθείς, Χριστὲ ὁ Θεὸς, τῶν ἐπιῤῥύτων παθῶν ἐλευθέρωσον, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος ἅγιος καὶ φιλάνθρωπος. Ἀμήν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

» Ῥῆμα τυράννου, ἐπὶ ὑπερίσχυσεν, ἐπταπλασίως κάμινος,
» ἐξεκαύθη ποτέ· ἐν ᾗ παῖδες οὐκ ἐρλέχθησαν, βασιλέως πα-
» τήσαντες δόγμα, ἀλλ' ἐβόων· Πάντα τὰ ἔργα Κυρίου τὸν Κύ-
» ριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Ἀποκενοῦσα, γυνὴ μύρον ἔντιμον, δεσποτικῇ καὶ θείᾳ, φρι-
κτῇ κορυφῇ, Χριστὲ τῶν ἰχνῶν σου ἐπελάβετο. τῶν ἀχράντων,
κεχραμέναις παλάμαις, καὶ ἐβόα· Πάντα τὰ ἔργα Κυρίου, τὸν
Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας

Δάκρυσι πλύνει, τοὺς πόδας ὑπεύθυνος, ἁμαρτίαις τοῦ πλά-
σαντος, καὶ ἐκμάσσει θριξί· διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε, πε-
πραγμένων τῆς ἀπολυτρώσεως, ἀλλ' ἐβόα· Πάντα τὰ ἔργα Κυ-
ρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖται τὸ λύτρον εὐγνώμονι, ἐκ σωτηρίων σπλάγχνων
τε, καὶ δακρύων πηγῆς· ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως, ἐκπληθεῖ-
σα οὐ κατησχύνετο, ἀλλ' ἐβόα· Πάντα τὰ ἔργα Κυρίου, τὸν
Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καὶ πάλιν ἡ Καταβασία. « Ῥῆμα τυράννου. »

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Ψυχαῖς καθαραῖς, καὶ ἀρρυπώτοις χείλεσι, δεῦτε μεγα-
» λύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμα-
» νουήλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς, προσφέροντες πρεσβείαν τε-
» χθέντι. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Τροπάρια.

Ἀγνώμων φανείς, καὶ πονηρὸς ζηλότυπος, δῶρον ἀξιόθεον
λογοπραγεῖ, οὗ ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων, καπηλεύων ὁ
δεινός, Ἰούδας τὴν φιλόθεον χάριν. Φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθείς, τοῖς παρανόμοις ἄρχουσι· Τί μοι δοῦναι
θέλετε, κἀγὼ Χριστὸν ὑμῖν, τὸν ζητούμενον, τοῖς θέλουσι πα-
ραδῶτω; οἰκειότητα Χριστοῦ, Ἰούδας ἀντωτάμενος χρυσοῦ.
Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦ πνρωτικῆς φιλαργυρίας, ἄσπονδε! λήθης ὅθεν ἔτυχες, ὅτι ψυχῆς, οὐδ' ὃς ἰσοστάσιος ὁ Κοσμος, ὡς ἐδιδάχθης· ἀπογνώσει γὰρ σαυτὸν, ἐβρόχισας ἀνάψας προδότα. Φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Καὶ ἡ Καταβασία. « Ψυχαῖς καθαραῖς. » Σελὶς 227

Εἶτα, τὸ ἐξαποστειλ. ἐκ γ'. Τὸν νυμφῶνά σου βλέπω. Σελ. 206.

Εἰς τοὺς Αἴνους ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν τὰ παρόντα Στιχηρὰ Ἰδιόμελα. Ἦχος ά.

Σὲ τὸν τῆς Παρθένου Υἱὸν, Πόρνη ἐπιγνοῦσα Θεὸν ἔλεγεν, ἐν κλαυθμῷ δυσωποῦσα, ὡς δακρύων ἄξια πράξασα· Διάλυσον τὸ χρέος, ὡς καγὼ τοὺς πλοκάμους· ἀγάπησον φιλοῦσαν τὴν δικαίως μισουμένην, καὶ πλησίον τελωνῶν σε κηρύξω, Εὐεργέτα φιλάνθρωπε.

Τὸ πολυτίμητον μύρον, ἡ Πόρνη ἔμιξε μετὰ δακρύων, καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους ποδας σου, καταφιλοῦσα· ἐκείνην εὐθὺς ἐδικαίωσας, ἡμῖν δὲ συγχώρησιν δώρησαι, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον, τότε ὁ μαθητὴς, συνεφώνει τοῖς παρανόμοις· ἡ μὲν ἔχαιρε κενοῦσα τὸ πολύτιμον, ὁ δὲ ἔσπευδε πωλῆσαι τὸν ἀτίμητον· αὕτη τὸν Δεσπότην ἐπεγίνωσκεν, οὗτος τοῦ Δεσποτου ἐχωρίζετο· αὕτη ἠλευθεροῦτο, καὶ ὁ Ἰούδας δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ· δεινὸν ἡ ῥαθυμία! μεγάλη ἡ μετάνοια! ἦν μοι δώρησαι Σωτὴρ, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ὦ τῆς Ἰούδα ἀθλιότητος! ἐθεώρει τὴν Πόρνην φιλοῦσαν τὰ ἴχνη, καὶ ἐσκέπτετο δολῳ, τῆς προδοσίας τὸ φίλημα· ἐκείνη τοὺς πλοκάμους διέλυσε. καὶ οὗτος τῷ θυμῷ ἐδεσμεῖτο, φέρων ἀντὶ μύρου, τὴν δυσώδη κακίαν· φθόνος γὰρ οὐκ οἶδε, προτιμᾶν τὸ συμφέρον. Ὦ τῆς Ἰούδα ἀθλιότητος! ἀφ' ἧς ῥῦσαι ὁ Θεὸς τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. Ἦχος β'.

Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον, πριάσασθαι πολύτιμον μύρον, τοῦ μυρίσαι τὸν εὐεργέτην, καὶ τῷ μυρεψῷ ἐβόα· Δός μοι τὸ μύρον, ἵνα ἀλείψω καγὼ τὸν ἐξαλείψαντά μου πάσας τὰς ἁμαρτίας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ νῦν. Ἦχος πλ. β΄.

Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ, εὗρέ σε λιμένα τῆς σωτηρίας, καὶ μύρον σὺν δάκρυσι κενοῦσά σοι ἐβόα· Ἴδε ὁ τῶν ἁμαρτανόντων τὴν μετάνοιαν φέρων· ἀλλὰ Δέσποτα διάσωσόν με, ἐκ τοῦ κλύδωνος τῆς ἁμαρτίας, διὰ τὸ μέγα σου ἔλεος.

Εἶτα, Σοὶ δόξα πρέπει. τὸ, Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Ὁ Ἱερεὺς τὸ, Πληρώσωμεν τὴν δέησιν· Καὶ τὴν ἐκφώνησιν.

Εἰς τὰ Ἀπόστιχα τὰ παρόντα Στιχ. Ἰδιόμελα· Ἦχος πλ. β΄.

Σήμερον ὁ Χριστός, παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, καὶ γυνὴ ἁμαρτωλὸς προσελθοῦσα, τοῖς ποσὶν ἐκυλινδοῦτο βοῶσα· Ἴδε τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ, τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, τὴν μὴ βδελυχθεῖσαν παρὰ τῆς σῆς ἀγαθότητος· καὶ δός μοι Κύριε, τὴν ἄφεσιν τῶν κακῶν καὶ σῶσόν με.

Στίχ. Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου Κύριε.

Ἤπλωσεν ἡ Πόρνη, τὰς τρίχας σοὶ τῷ Δεσπότῃ· ἤπλωσεν Ἰούδας. τὰς χεῖρας τοῖς παρανόμοις· ἡ μὲν λαβεῖν τὴν ἄφεσιν· ὁ δὲ λαβεῖν ἀργύρια. Διό σοι βοῶμεν· τῷ πραθέντι καὶ ἐλευθερώσαντι ἡμᾶς· Κύριε δόξα σοι.

Στίχ. Εὐφρανθείημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς.

Προσῆλθε γυνὴ δυσώδης καὶ βεβορβορωμένη, δάκρυα προχέουσα ποσί σου Σωτήρ, τὸ πάθος καταγγέλλουσα· Πῶς ἀτενίσω σοι τῷ Δεσπότῃ; αὐτὸς γὰρ ἐλήλυθας, σῶσαι πόρνην· ἐκ βυθοῦ θανοῦσάν με ἀνάστησον, ὁ τὸν Λάζαρον ἐγείρας, ἐκ τάφου τετραήμερον· δέξαι με τὴν τάλαιναν, Κύριε καὶ σῶσόν με.

Στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον, καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον, τὸ μύρον βαστάζουσα, προσῆλθέ σοι βοῶσα· Μή με τὴν πόρνην ἀποβρίψῃς, ὁ τεχθεὶς ἐκ Παρθένου· μή μου τὰ δάκρυα παρίδῃς, ἡ χαρὰ τῶν Ἀγγέλων· ἀλλὰ δέξαι με μετανοοῦσαν, ἣν οὐκ ἀπώσω ἁμαρτάνουσαν Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ΄. Ποίημα Κασσιανῆς Μοναχῆς.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνὴ, τὴν σὴν αἰσθομένη Θεότητα, μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μύρα σοι, πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει. Οἴμοι! λέγουσα, ὅτι νύξ μοι ὑπάρχει, οἶστρος ἀκολασίας, ζοφώδης τε καὶ ἀσέληνος, ἔρως τῆς ἁμαρτίας. Δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ κλίνας τοὺς Οὐρανοὺς, τῇ ἁφάτῳ σου κενώσει· καταφιλήσω τοὺς ἀχράντους σου πόδας, ἀποσμήξω τούτους δὲ πάλιν, τοῖς τῆς κεφαλῆς μου βοστρύχοις· ὧν ἐν τῷ Παραδείσῳ Εὔα τὸ δειλινὸν κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβη. Ἁμαρτιῶν μου τὰ πλήθη, καὶ κριμάτων σου ἀβύσσους, τίς ἐξιχνιάσει ψυχοσῶστα Σωτήρ μου; Μή με τὴν σὴν δούλην παρίδῃς, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος

Καὶ εὐθὺς, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι· Τρισάγιον, καὶ τὸ Κοντάκιον. Ὑπὲρ τὴν πόρνην ἀγαθέ. κτλ. Σελὶς, **226**. Εἶτα τὸ Κύριε ἐλέησον ιδ'. Ἐπουράνιε Βασιλεῦ, Καὶ ἀπόλυσις.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΤΕΤΑΡΤΗ·

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Μετὰ τὸν Προοιμιακὸν, τὰ πρὸς Κύριον Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ί. καὶ ψάλλομεν τὰ δέκα στιχ. Ἰδιόμ.

Σὲ τὸν τῆς Παρθένου Υἱόν.
Ὅτε ἡ ἁμαρτωλὸς, προσέφ.
Ἡ ἁμαρτωλὸς ἔδραμε πρός.
Σήμερον ὁ Χριστὸς παραγ.
Προσῆλθε γυνὴ δυσώδης.
Τὸ πολυτίμητον μύρον.
Ὦ τῆς Ἰούδα ἀθλιότητος!
Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ.
Ἤπλωσεν ἡ Πόρνη.
Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον.

Δόξα, καὶ νῦν. Ἦχος πλ. δ'.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις. ζήτει ἅπαντα σελὶς, **228**.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· τὸ Φῶς ἱλαρὸν, καὶ εὐθὺς τὰ δύο Ἀναγνώσματα· πρὸ Κατευθυνθήτω. Καὶ μετὰ, τὸ παρὸν Εὐαγ.

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Κεφ. Κς'. 6—16.

Τοῦ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ, ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ω. Ἰδόντες δὲ οἱ Μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, λέγοντες· Εἰς
ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολ-
οῦ καὶ δοθῆναι πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί
όπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς
έ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ
πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ
ώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑ-
ν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ,
λληθήσεται καὶ ὃ ἐποίησεν αὕτη, εἰς μνημόσυνον αὐτῆς. Τό-
ε πορευθεὶς εἷς τῶν Δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης,
ρὸς τοὺς Ἀρχιερεῖς εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν
αραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια.
αὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὸν Ἑξάψαλμον, ψάλλομεν τὸ Ἀλληλούϊα τετράκις.
Εἶτα τὸ παρὸν τροπάριον ἀργῶς ἐκ γ'. Ἦχος πλ. δ'.

Ὅτε οἱ ἔνδοξοι Μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφω-
ίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτί-
ετο· καὶ ἀνόμοις κριταῖς, σὲ τὸν δίκαιον Κριτὴν παραδίδωσι.
λέπε χρημάτων ἐραστὰ τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον·
εῦγε ἀκορεστον ψυχήν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν·
ὁ περὶ πάντας ἀγαθός, Κύριε δόξα σοι.

Καὶ εὐθὺς, τὸ παρὸν Εὐαγγέλιον τοῦ Ὄρθρου.
Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Κεφ. ΚΒ'. 1—39

Τῷ καιρῷ ἐκείνῳ, ἤγγιζεν ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη
Πάσχα. Καὶ ἐζήτουν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς, τὸ
πῶς ἀνέλωσι τὸν Ἰησοῦν· ἐφοβοῦντο γὰρ τὸν λαόν. Εἰσῆλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν Δώδεκα. Καὶ ἀπελθὼν συνελάλησε τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Στρατηγοῖς, τό, πῶς αὐτὸν παραδῷ αὐτοῖς. Καὶ ἐχάρησαν· καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι. Καὶ ἐξωμολόγησε· καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ Πάσχα· καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην, εἰπών· Πορευθέντες, ἑτοιμάσατε ἡμῖν τὸ Πάσχα, ἵνα φάγωμεν. Οἱ δὲ εἶπον αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμεν; Ὁ δὲ εἶπεν αὐτοῖς· Ἰδοὺ, εἰσελθόντων ὑμῶν εἰς τὴν Πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν, οὗ εἰσπορεύεται· καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· Λέγει σοι ὁ Διδάσκαλος· Ποῦ ἐστι τὸ κατάλυμα, ὅπου τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου φάγω; Κἀκεῖνος ὑμῖν δείξει ἀνώγεων μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. Ἀπελθόντες δὲ, εὗρον καθὼς εἴρηκεν αὐτοῖς· καὶ ἡτοίμασαν τὸ Πάσχα. Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα Ἀπόστολοι σὺν αὐτῷ. Καὶ εἶπε πρὸς αὐτούς· Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν, πρὸ τοῦ με παθεῖν. Λέγω γὰρ ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ, ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ Καὶ δεξάμενος ποτήριον, εὐχαριστήσας εἶπε· Λάβετε τοῦτο, καὶ διαμερίσατε ἑαυτοῖς· λέγω γὰρ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε· καὶ ἔδωκεν αὐτοῖς λέγων· Τοῦτό ἐστι τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον, ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. Πλὴν ἰδοὺ, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. Καὶ ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται. Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς, τό, τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τό, τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Ὁ δὲ εἶπεν αὐτοῖς· Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν· καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. Ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν ὑμῖν, γενέσθω ὡς ὁ νεώτε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρος· καὶ ὁ ἡγούμενος, ὡς ὁ διακονῶν. Τίς γὰρ μείζων, ὁ ἀνακείμενος, ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν, ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν· ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσησθε ἐπὶ θρόνων, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ, ὁ Σατανᾶς ἐξητήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας, στήριζον τοὺς ἀδελφούς σου. Ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. Ὁ δὲ εἶπε· Λέγω σοι, Πέτρε· Οὐ μὴ φωνήσει σήμερον ἀλέκτωρ, πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με. Καὶ εἶπεν αὐτοῖς· Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου, καὶ πήρας, καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; Οἱ δὲ εἶπον· Οὐδενός. Εἶπεν οὖν αὐτοῖς· Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον, ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων, πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν. Λέγω γὰρ ὑμῖν, ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. Οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἱκανόν ἐστι. Καὶ ἐξελθὼν, ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ Μαθηταὶ αὐτοῦ.

Μετὰ δὲ τὸν Ν. ψάλλομεν τὸν ἑπόμενον Κανόνα εἰς τέσσαρα.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ ά. Ἦχος πλ. β'. Ὁ Εἱρμός.

» Τιμηθείσῃ τιμᾶται, πόντος ἐρυθρὸς, κυματοτρόφος δὲ ξηραί-
» νεται βυθὸς, ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατὸς, καὶ πα-
» νοπλίταις τάφος. Ὠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο· Ἐνδόξως
» δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Τροπάρια.

Ἡ πανταιτία, καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτοῖς, ἀγνῆς ἐξ ἀπειράνδρου Μητρός· ναὸν γὰρ σωματικὸν περιθέμενος, ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μυσταγωγοῦσα, φίλους ἑαυτῆς, τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν, ἀμβροσίας δὲ ἡ ὄντως σοφία τοῦ Θεοῦ, κιρνᾷ κρατῆρα πιστοῖς. Προσέλθωμεν εὐσεβῶς καὶ βοήσωμεν· Ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἀκουτισθῶμεν, πάντες οἱ πιστοί, συγκαλουμένης ὑψηλῷ κηρύγματι, τῆς ἀκτίστου καὶ ἐμφύτου σοφίας τοῦ Θεοῦ· βοᾷ γάρ· Γεύσασθε καὶ γνόντες, ὅτι χρηστὸς ἐγὼ κράξατε· Ἐνδόξως δεδόξασται, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καταβασία. « Τιμηθείσῃ τιμᾶται ». Σελὶς, 233.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

» Κύριος ὢν πάντων, καὶ Κτίστης Θεός, τὸ κτιστὸν ὁ ἀπα-
» θὴς, πτωχεύσας σεαυτῷ ἥνωσας· καὶ τὸ Πάσχα, οἷς ἔμελλες
» θανοῖν, αὐτὸς ὢν σεαυτὸν προετίθης· Φάγετε βοῶν τὸ Σῶμά
» μου, καὶ πίστει στερεωθήσεσθε.

Τροπάρια.

Ῥύσιον παντὸς, τοῦ βροτείου γένους, τὸ οἰκεῖον Ἀγαθὲ, τοὺς σοὺς Μαθητὰς ἐπότισας, εὐφροσύνης ποτήριον πλήσας· αὐτὸς γὰρ σεαυτὸν ἱερούργεις, Πίετε βοῶν τὸ Αἷμά μου καὶ πίστει στερεωθήσεσθε.

Ἄφρων ἀνὴρ, ὃς ἐν ὑμῖν προδότης, τοῖς οἰκείοις Μαθηταῖς προέφης, ὁ ἀνεξίκακος, οὐ μὴ γνώσητε ταῦτα, καὶ οὗτος ἀσύνετος ὢν, οὐ μὴ συνήσει· ὅμως ἐν ἐμοὶ μείνατε, καὶ πίστει στερεωθήσεσθαι.

Καταβασία. « Κύριος ὢν πάντων. »

Κάθισμα. Ἦχος ά. Τὸν τάφον σου Σωτῆρ.

Ὁ λίμνας καὶ πηγὰς, καὶ θαλάσσας ποιήσας, ταπείνωσιν ἡμᾶς, ἐκπαιδεύων ἀρίστην, λεπτῷ ζωννύμενος, Μαθητῶν πόδας ἔνιψε, ταπεινούμενος, ὑπερβολῇ εὐσπλαγχνίας, καὶ ὑψῶν ἡμᾶς, ἀπὸ βαράθρων κακίας, ὁ μόνος φιλάνθρωπος.

Ἕτερον Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Ταπεινούμενος, δι' εὐσπλαγχνίαν, πόδας ἔνιψας, τῶν Μαθητῶν σου, καὶ πρὸς δρόμον θεῖον τούτους κατεύθυνας· ἀπαναινόμενος Πέτρος δὲ νίπτεσθαι, αὖθις τῷ θείῳ ὑπείκει προστάγματι, ἐκνιπτόμενος, καὶ σοῦ ἐκτενῶς δεόμενος, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος

Ἕτερον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Συνεσθίων Δέσποτα, τοῖς Μαθηταῖς σου, μυστικῶς ἐδήλωσας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν παναγίαν σου σφαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν, οἱ τὰ σεπτά σου, τιμῶντες παθήματα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου σου τὸ ἀπόῤῥητον, » Χριστὲ προανεφώνησεν· Ἤθου κραταιὰν, ἀγάπησιν ἰσχύος, » Πάτερ οἰκτίρμον· τὸν Μονογενῆ Υἱὸν γὰρ ἀγαθὲ, ἱλασμὸν » εἰς τὸν Κόσμον ἀπέστειλας.

Τροπάρια.

Ἐπὶ τὸ πάθος τὸ πᾶσι, τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν, Χριστὲ μολὼν τοῖς φίλοις σου, εἶπας· Μεθ' ὑμῶν, τοῦ Πάσχα μετασχεῖν, τούτου ἐπεθύμησα· τὸν Μονογενῆ ἐπεί με ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

Μεταλαμβάνων κρατῆρος τοῖς Ναθηταῖς ἐβόας Ἀθάνατε· Γεννήματος ἀμπέλου δὲ, πίομαι λοιπὸν, οὐκέτι μεθ' ὑμῶν βιοτεύων. τὸν Μονογενῆ ἐπεί με ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

Πόμα καινὸν ὑπὲρ λόγον, ἐγὼ φημι ἐν τῇ Βασιλείᾳ μου, Χριστὲ τοῖς φίλοις πίομαι· ὥστε γὰρ θεοῖς, Θεὸς ὑμῖν, συνέσομαι εἶπας· τὸν Μονογενῆ καὶ γάρ με ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

Καταβασία. « Προκατιδὼν ὁ Προφήτης ».

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» Τῷ συνδέσμῳ τῆς ἀγάπης, συνδεόμενοι οἱ Ἀπόστολοι, τῷ » δεσποζοντι τῶν ὅλων, ἑαυτοὺς Χριστῷ ἀναθέμενοι, ὡραίους » πόδας ἐξαπενίζοντο, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Τροπάρια.

Ἡ τὸ ἄσχετον κρατοῦσα, καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα, καὶ θαλάσσας ἀναχαιτίζουσα, Θεοῦ σοφία, ὕδωρ Νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων Δεσπότης.

Μαθηταῖς ὑποδεικνύει, ταπεινώσεως ὁ Δεσπότης τύπον· ὁ νεφέλαις δὲ τὸν πόλον περιβάλλων, ζώννυται λέντιον, καὶ κάμπτει γόνυ, δούλων ἐκπλῦναι πόδας· οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ὄντων.

Καταβασία. « Τῷ συνδέσμῳ τῆς ἀγάπης. »

Ὠδὴ ς'. Ὁ Εἱρμός.

» Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων, ἐκύκλωσέ με, καὶ τὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

» κλύδωνα μηκέτι φέρων, ὡς ὁ Ἰωνᾶς, τῷ Δεσπότῃ βοῶ σοι· » Ἐκ φθορᾶς με ἀνάγαγε.

Τροπάρια.

Κύριον φωνεῖτε, ὦ Μαθηταί, καὶ Διδάσκαλόν με· καὶ γὰρ πέφυκα· Σωτὴρ ἐβόας· διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε.

Ῥυπόν τις μὴ ἔχων ἀπορρυφθῆναι, οὐ δεῖται πόδας· καθαροὶ ὦ Μαθηταὶ ὑμεῖς δὲ, ἀλλ' οὐχὶ πάντες· ῥοπὴ γὰρ ἀτάκτως, ἐξ ὑμῶν ἑνὸς μαίνεται.

Καταβασία. « Ἄβυσσος ἐσχάτη ». Σελὶς, 235.

Κοντάκιον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὸν ἄρτον λαβὼν, εἰς χεῖρας ὁ προδότης, κρυφίως αὐτὰς, ἐκτείνει καὶ λαμβάνει, τὴν τιμὴν τοῦ πλάσαντος, ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον· καὶ ἀδιόρθωτος ἔμεινεν, Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Ὁ Οἶκος.

Τῇ μυστικῇ ἐν φόβῳ τραπέζῃ, προσεγγίσαντες πάντες, καθαραῖς ταῖς ψυχαῖς, τὸν ἄρτον ὑποδεξώμεθα, συμπαραμένοντες τῷ Δεσπότῃ, ἵνα ἴδωμεν τοὺς πόδας πῶς ἀπονίπτει τῶν Μαθητῶν, καὶ ἐκμάσσει τῷ λεντίῳ, καὶ ποιήσωμεν ὥσπερ κατείδομεν, ἀλλήλοις ὑποταγέντες, καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνοντες· αὐτὸς γὰρ ὁ Χριστὸς οὕτως ἐκέλευσε, τοῖς αὐτοῦ Μαθηταῖς ὡς προέφησεν· ἀλλ' οὐκ ἤκουσεν, Ἰούδας ὁ δοῦλος καὶ δόλιος.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ, οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων Ἀποστόλων καὶ τῶν ἱερῶν Εὐαγγελίων, παραδεδώκασιν ἡμῖν τέσσαρά τινα ἑορτάζειν· τὸν ἱερὸν Νιπτῆρα, τὸν μυστικὸν Δεῖπνον (δηλαδὴ τὴν παράδοσιν τῶν καθ' ἡμᾶς φρικτῶν Μυστηρίων), τὴν ὑπερφυᾶ προσευχὴν, καὶ τὴν προδοσίαν αὐτήν.

Νίπτει Μαθητῶν ἑσπέρας Θεὸς πόδας,
Οὗ πούς πατῶν ἦν εἰς Ἅιδ δείλης πάλαι.
Διπλοῦς ὁ Δεῖπνος· Πάσχα γὰρ νόμου φέρει,
Καὶ Πάσχα καινὸν, Αἷμα, Σῶμα Δεσπότου.
Προσεύχῃ, καὶ φόβητρα, θρόμβοι αἱμάτων·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χριστὲ, προσώπου· παραιτούμενος δῆθεν
Θάνατον, ἐχθρὸν ἐν τούτοις φενακίζων.
Τί δεῖ μαχαιρῶν; τί ξύλων, λαοπλάνοι,
Πρὸς τὸν θανεῖν πρόθυμον εἰς Κόσμου λύτρον;

Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Οἱ Παῖδες ἐν βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν,
» ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον·
» Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τροπάρια.

Νευστάζων κάραν Ἰούδας, κακὰ προβλέπων ἐκίνησεν, εὐκαιρίαν ζητῶν, παραδοῦναι, τὸν Κριτὴν εἰς κατάκρισιν· ὃς πάντων ἐστὶ Κύριος, καὶ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὑμῖν ὁ Χριστὸς τοῖς φίλοις, ἐβόα· Εἷς παραδώσει με· εὐφροσύνης λαθόντες, ἀγωνίᾳ καὶ λύπῃ συνείχοντο. Τίς οὗτος; φράσον λέγοντες, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Μεθ' ὅστις ἐμοῦ τὴν χεῖρα, τρυβλίῳ βάλλει θρασύτητι, τούτῳ πλὴν καλὸν ἦν, πύλας βίου περάσαι μηδέποτε· τούτου ὃς ἦν ἐδήλου δὲ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Καταβασία. « Οἱ Παῖδες ἐν Βαβυλῶνι ».

Ὠδὴ ἡ. Ὁ Εἱρμός.

» Νόμων πατρῴων οἱ μακαριστοὶ, ἐν Βαβυλῶνι Νέοι προ-
» κινδυνεύοντες, βασιλεύοντος, κατέπτυξαν, προσταγῆς ἀλο-
» γίστου· καὶ συνημμένοι ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρα-
» τοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον· Τὸν Κύριον ὑμνεῖτε
» τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Οἱ δαιτυμόνες οἱ μακαριστοὶ, ἐν τῇ Σιὼν τῷ λόγῳ προσκαρτερήσαντες, οἱ Ἀπόστολοι παρείποντο, τῷ Ποιμένι ὡς ἄρνες, καὶ συνημμένοι ᾧ οὐκ ἐχωρίσθησαν Χριστῷ, θείῳ λόγῳ τρεφόμενοι, εὐχαρίστως ἐβόων· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νόμου φιλίας ὁ δυσώνυμος, Ἰσκαριώτης γνώμῃ ἐπιλαθόμενος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὓς ἐνίψατο νύτρέπισε πρὸς προδοσίαν πόδας· καὶ σοῦ ἐσθίων ἄρτον Σῶμα θεῖον, ἐπῆρε πτερνισμὸν ἐπὶ σὲ, Χριστὲ, καὶ βοᾷν οὐ συνῆκε· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸ λυτήριον, τῆς ἁμαρτίας σῶμα, ὁ ἀσυνείδητος, καὶ τὸ αἷμα τὸ χεόμενον, ὑπὲρ Κόσμου τὸ θεῖον· ἀλλ' οὐκ ἠδεῖτο πίνων, ὃ ἐπίπρασκε τιμῆς, οὐ κακίᾳ προσώχθισε, καὶ βοᾷν οὐ συνῆκε· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. « Νόμων πατρῴων οἱ μακαριστοί ». Σελὶς, 237.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν ὑπερῴῳ τόπῳ, » ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ δεῦτε ἀπολαύσωμεν, ἐπαναβεβη- » κότα λόγον, ἐκ τοῦ Λόγου μαθόντες, ὃν μεγαλύνομεν.

Τροπάρια.

Ἅπιτε τοῖς Μαθηταῖς, ὁ Λόγος ἔφη, τὸ Πάσχα ἐν ὑπερῴῳ τόπῳ, ᾧ νοῦς ἐνίδρυται, οἷς μυσταγωγῶ, σκευάσατε, ἀζύμῳ ἀληθείας λόγῳ· τὸ στερρὸν δὲ τῆς χάριτος μεγαλύνατε.

Δημιουργὸν ὁ Πατὴρ, πρὸ τῶν αἰώνων σοφίαν, γεννᾷ ἀρχὴν ὁδῶν με, εἰς ἔργα ἔκτισε, τὰ νῦν μυστικῶς τελούμενα· Λόγος γὰρ ἄκτιστος ὢν φύσει, τὰς φωνὰς οἰκειοῦμαι, οὗ νῦν προσείληφα.

Ὡς ἄνθρωπος ὑπάρχω, οὐσίᾳ οὐ φαντασίᾳ, οὕτω Θεὸς τῷ τρόπῳ τῆς ἀντιδόσεως, ἡ φύσις ἡ ἑνωθεῖσά μοι· Χριστὸν ἕνα, διό με γνῶτε, τὰ ἐξ ὧν, ἐν οἷς, ἅπερ πέφυκα σώζοντα.

Καταβασία. « Ξενίας δεσποτικῆς ».

Εἶτα, τὸ ἐξαποστειλ. ἐκ γ'. Τὸν νυμφῶνά σου βλέπω. Σελ. 206.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν τὰ παρόντα δ'. Στιχηρὰ Ἰδιόμελα. Ἦχος β'.

Συντρέχει λοιπὸν, τὸ συνέδριον τῶν Ἰουδαίων, ἵνα τὸν Δημιουργὸν, καὶ Κτίστην τῶν ἁπάντων, Πιλάτῳ παραδώσῃ· ὢ τῶν ἀνόμων! ὢ τῶν ἀπίστων! ὅτι τὸν ἐρχόμενον, κρῖναι ζῶντας καὶ νεκροὺς, εἰς κρίσιν εὐτρεπίζουσι· τὸν ἰώμενον τὰ πάθη, πρὸς πάθος ἑτοιμάζουσι. Κύριε μακρόθυμε, μέγα σου τὸ ἔλεος· δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰούδας ὁ παράνομος Κύριε, ὁ βάψας ἐν τῷ δείπνῳ τὴν χεῖρα, ἐν τῷ τρυβλίῳ μετὰ σοῦ, ἐξέτεινεν ἀνόμως τὰς χεῖρας, τοῦ λαβεῖν ἀργύρια· καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν, σὲ τὸν ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι· ὁ τοὺς πόδας ὑφαπλώσας ἐπὶ τὸ νίψαι, τὸν Δεσπότην κατεφίλησε δολίως, εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις· χοροῦ δὲ Ἀποστόλων ῥιφεὶς, καὶ τὰ τριάκοντα ῥίψας ἀργύρια· Σοῦ τὴν τριήμερον Ἀνάστασιν οὐκ εἶδε· δι' ἣς ἐλέησον ἡμᾶς.

Ἰούδας ὁ προδότης δόλιος ὢν, δολίῳ φιλήματι παρέδωκε τὸν Σωτῆρα Κύριον· τὸν Δεσπότην τῶν ἁπάντων, ὡς δοῦλον πέπρακε τοῖς παρανόμοις· ὡς πρόβατον ἐπὶ σφαγὴν, οὕτως ἠκολούθει, ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ Υἱὸς ὁ τοῦ Πατρὸς, ὁ μόνος πολυέλεος.

Ἰούδας ὁ δοῦλος καὶ δόλιος, ὁ μαθητὴς καὶ ἐπίβουλος, ὁ φίλος καὶ διάβολος, ἐκ τῶν ἔργων ἀπεφάνθη· ἠκολούθει γὰρ τῷ Διδασκάλῳ καὶ καθ' ἑαυτὸν ἐμελέτησε τὴν προδοσίαν· ἔλεγεν ἐν ἑαυτῷ· παραδώσω τοῦτον, καὶ κερδήσω τὰ συναχθέντα χρήματα· ἐπεζήτει δὲ καὶ τὸ μύρον πραθῆναι, καὶ τὸν Ἰησοῦν δόλῳ κρατηθῆναι· ἀπέδωκεν ἀσπασμὸν, παρέδωκε τὸν Χριστόν· καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν οὕτως ἠκολούθει, ὁ μόνος εὔσπλαγχνος καὶ φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Ὃν ἐκήρυξεν Ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον, καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας, τὰς σιαγόνας εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη, ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται· πάντα ὁ ἀναμάρτητος ἑκουσίως καταδέχεται, ἵνα πᾶσι δωρήσηται τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Εἶτα, Σοὶ δόξα πρέπει, Κύριε· τὸ, Δόξα σοι τῷ δείξαντι τὸ φῶς· ἡ Αἴτησις παρὰ τοῦ ἱερέως, καὶ ἡ Ἐκφώνησις.

Εἰς τὰ Ἀπόστιχα, τὰ παρόντα Ἰδιόμελα. Ἦχος πλ. δ'.

Σήμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον, καὶ κατ' αὐτοῦ κενὰ ἐβουλεύσατο, παραδοῦναι Πιλάτῳ εἰς θάνατον τὸν ἀνεύθυνον. Σήμερον τὴν τῶν χρημάτων ἀγχόνην, Ἰούδας ἑαυτῷ περιτίθησι, καὶ στερεῖται κατ' ἄμφω. ζωῆς προσκαίρου καὶ θείας. Σήμερον Καϊάφας, ἄκων προφητεύει, Συμφέρει λέγων, ὑπὲρ τοῦ λαοῦ ἕνα ἀπολέσθαι· ἦλθε γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τοῦ παθεῖν, ἵνα ἡμᾶς ἐλευθερώσῃ, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στίχ. Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.

Σήμερον ὁ Ἰούδας, τὸ τῆς φιλοπτωχείας κρύπτει προσωπεῖον, καὶ τῆς πλεονεξίας ἀνακαλύπτει τὴν μορφήν· οὐκέτι τῶν πενήτων φροντίζει· οὐκέτι τὸ μύρον πιπράσκει, τὸ τῆς ἁμαρτωλοῦ, ἀλλὰ τὸ οὐράνιον μύρον, καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια· τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις· Τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Ὦ φιλαργυρίας προδότου! εὔωνον ποιεῖτε τὴν πρᾶσιν· πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων, τοῦ πωλουμένου τὴν πραγματείαν ποιεῖται· οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμὴν, ἀλλ' ὡς δοῦλον φυγάδα ἀπεμπωλεῖ· ἔθος γὰρ τοῖς κλέπτουσι, ῥίπτειν τὰ τίμια· νῦν ἔβαλε τὰ ἅγια, τοῖς κυσὶν ὁ μαθητής· ἡ γὰρ λύσσα τῆς φιλαργυρίας, κατὰ τοῦ ἰδίου Δεσπότου, μαίνεσθαι ἐποίησεν αὐτόν· ἧς τὴν πεῖραν φύγωμεν, κράζοντες· Μακρόθυμε Κύριε, δόξα σοι.

Στίχ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό.

Ὁ τρόπος σου δολιότητος γέμει, παράνομε Ἰούδα· νοσῶν γὰρ φιλαργυρίαν, ἐκέρδησας μισανθρωπίαν· εἰ γὰρ πλοῦτον ἠγάπας, τί τῷ περὶ πτωχείας διδάσκοντι ἐφοίτας; εἰ δὲ καὶ ἐφίλεις, ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν; Φρίξον ἥλιε, στέναξον ἡ γῆ, καὶ κλονουμένη βόησον· Ἀνεξίκακε Κύριε δόξα σοι.

Στίχ. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ.

Μηδεὶς ὦ πιστοὶ, τοῦ δεσποτικοῦ δείπνου ἀμύητος, μηδεὶς ὅλως ὡς ὁ Ἰούδας, δολίως προσίτω τῇ τραπέζῃ· ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος, κατὰ τοῦ ἄρτου ἐχώρησε, σχήματι μὲν ὢν μαθητὴς, πράγματι δὲ παρὼν φονευτὴς, τοῖς μὲν Ἰουδαίοις συναγαλλόμενος, τοῖς δὲ Ἀποστόλοις συναυλιζόμενος· μισῶν ἐφίλει, φιλῶν ἐπώλει, τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας, τὸν Θεὸν καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ τρόπος σου δολιότητος γέμει. Ὅρα ἀνωτέρω.

Καὶ νῦν. Ἦχος πλ. ά.

Μυσταγωγῶν σου Κύριε τοὺς Μαθητὰς, ἐδίδασκες λέγων· Ὦ φίλοι, ὁρᾶτε, μηδεὶς ὑμᾶς χωρίσει μου φόβος· εἰ γὰρ πάσχω, ἀλλ' ὑπὲρ τοῦ Κόσμου· μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί· οὐ γὰρ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχήν μου, λύτρον ὑπὲρ τοῦ Κόσμου. Εἰ οὖν ὑμεῖς φίλοι μού ἐστε, ἐμὲ μιμεῖσθε· ὁ θέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λων πρῶτος εἶναι, ἔστω ἔσχατος· ὁ δεσπότης, ὡς ὁ διάκονος· μείνατε ἐν ἐμοί, ἵνα βότρυν φέρητε· ἐγὼ γάρ εἰμι τῆς ζωῆς ἡ ἄμπελος.

Εἶτα ἀγαθὸν τὸ ἐξομολογεῖσθαι, κτλ. τὸ Τροπάριον, Ὁ ραπισθεὶς δίς· Ἡ Προφητεία, Ἐκτενὴς καὶ ἀπόλυσις.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ.

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ.

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Λυχνικοῦ· καὶ μετὰ τὸν Προοιμιακόν, Συναπτὴ μεγάλη· Εἶτα τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ί. καὶ ψάλλομεν τὰ εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἰδιόμελα, δευτεροῦντες αὐτά. Ἦχος β'.

Συντρέχει λοιπόν. Ἰούδας ὁ παράνομος. Ἰούδας ὁ προδ. Ἰούδας ὁ δοῦλος. Ὃν ἐκήρυξεν Ἀμνόν. Ὥρα σελὶς, 238.

Δοξα, καὶ νῦν. Ἦχος πλ. β'.

Γέννημα ἐχιδνῶν, ἀληθῶς ὁ Ἰούδας, φαγόντων τὸ Μάννα ἐν τῇ ἐρήμῳ, καὶ γογγυζόντων κατὰ τοῦ τροφέως· ἔτι γὰρ τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι· καὶ οὗτος ὁ δυσσεβὴς, τὸν οὐράνιον Ἄρτον, ἐν τῷ στοματι βαστάζων, κατὰ τοῦ Σωτῆρος τὴν προδοσίαν εἰργάσατο. Ὦ γνώμης ἀκορέστου, καὶ τόλμης ἀπανθρώπου! τὸν τρέφοντα ἐπώλει, καὶ ὃν ἐφίλει Δεσπότην, παρεδίδου εἰς θάνατον· ὄντος ἐκείνων υἱὸς ὁ παράνομος, καὶ σὺν αὐτοῖς τὴν ἀπώλειαν ἐκληρώσατο. Ἀλλὰ ῥῦσαι Κύριε, τοιαύτης ἀπανθρωπίας τὰς ψυχὰς ἡμῶν, ὁ μόνος ἐν μακροθυμίᾳ ἀνείκαστος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου· τὸ Φῶς ἱλαρὸν, καὶ εὐθὺς τὰς τρεῖς Προφητείας. Μετὰ δὲ Συναπτὴν μικρὰν ψάλλομεν τὸ Τρισάγιον, εἶτα τὸν Ἀποστολον. Προκείμενον, Ἦχος βαρύς.

Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά;

Πρὸς Κορινθίους Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ΙΑ'. 23—32.

Ἀδελφοὶ, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· Λάβετε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φάγετε· τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι, λέγων· Τοῦτο τὸ ποτήριον ἡ Καινὴ Διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. Ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. Ὥστε, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. Κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν.

Εὐγγέλ. Λειτουργίας. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΣ 1—20 ἰω. ΙΓ 3—17 Ματ Κς 21—75.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. Τότε συνήχθησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Γραμματεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ Ἀρχιερέως, τοῦ λεγομένου Καϊάφα· καὶ συνεβουλεύσαντο, ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι, καὶ ἀποκτείνωσιν. Ἔλεγον δέ· Μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ, ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. Ἰδόντες δὲ οἱ Μαθηταὶ αὐτοῦ ἠγανάκτησαν, λέγοντες· Εἰς τί ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ, καὶ δοθῆναι πτωχοῖς. Γνοὺς δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. Τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. Ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὕτη, εἰς μνημόσυνον αὐτῆς. Τότε πορευθεὶς εἷς τῶν Δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς Ἀρχιερεῖς, εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ Μαθηταὶ τῷ Ἰησοῦ, λέγοντες αὐτῷ· Ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; Ὁ δὲ εἶπεν· Ὑπάγετε εἰς τὴν Πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε αὐτῷ· Ὁ Διδάσκαλος λέγει· Ὁ καιρός μου ἐγγύς ἐστι, πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου. Καὶ ἐποίησαν οἱ Μαθηταί, ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ Πάσχα. Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν Δώδεκα. Εἰδὼς δὲ ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ Πατὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε, καὶ πρὸς τὸν Θεὸν ὑπάγει, ἐγείρεται ἐκ τοῦ δείπνου, καὶ τίθησι τὰ ἱμάτια αὐτοῦ· καὶ λαβὼν λέντιον, διέζωσεν ἑαυτόν. Εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν Μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος. Ἔρχεται οὖν πρὸς Σίμωνα Πέτρον· καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου νίπτεις τοὺς πόδας; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα. Λέγει αὐτῷ Πέτρος· Οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. Ἤδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· Οὐχὶ πάντες καθαροί ἐστε. Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν, εἶπεν αὐτοῖς· Γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με· Ὁ Διδάσκαλος καὶ ὁ Κύριος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. Καὶ ἐσθιόν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των αὐτῶν, εἶπεν· Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. Καὶ λυπούμενοι σφόδρα, ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· Μήτι ἐγώ εἰμι, Κύριε; Ὁ δὲ ἀποκριθείς, εἶπεν· Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. Ὁ μὲν Υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Ἀποκριθεὶς δὲ ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν, εἶπε· Μήτι ἐγώ εἰμι, Ῥαββί; Λέγει αὐτῷ· Σὺ εἶπας. Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐλογήσας ἔκλασε, καὶ ἐδίδου τοῖς Μαθηταῖς, καὶ εἶπε· Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου, τὸ τῆς Καινῆς Διαθήκης, τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. Λέγω δὲ ὑμῖν, ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας ἐκείνης, ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου. Καὶ ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν Ἐλαιῶν. Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ· Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ πρόβατα τῆς ποίμνης. Μετὰ δὲ τὸ ἐγερθῆναί με, προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Εἰ καὶ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, ὅτι ἐν ταύτῃ τῇ νυκτί, πρὶν ἀλέκτορα φωνῆσαι, τρίς ἀπαρνήσῃ με. Λέγει αὐτῷ ὁ Πέτρος· Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. Ὁμοίως καὶ πάντες οἱ Μαθηταὶ εἶπον. Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς Μαθηταῖς· Καθίσατε αὐτοῦ, ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. Καὶ παραλαβὼν τὸν Πέτρον, καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου, ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Τότε λέγει αὐτοῖς· Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε μετ' ἐμοῦ. Καὶ προσελθὼν μικρόν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, προσευχόμενος, καὶ λέγων· Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. Ὤφθη δὲ αὐτῷ Ἄγγελος ἀπ' οὐρανοῦ, ἐνι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σχύων αὐτόν. Καὶ γενόμενος ἐν ἀγωνίᾳ, ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ, ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἔρχεται πρὸς τοὺς Μαθητὰς, καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. Πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο, λέγων· Πάτερ μου, εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. Καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν βεβαρημένοι. Καὶ ἀφεὶς αὐτοὺς, ἀπελθὼν πάλιν, προσηύξατο ἐκ τρίτου, τὸν αὐτὸν λόγον εἰπών. Τότε ἔρχεται πρὸς τοὺς Μαθητὰς αὐτοῦ, καὶ λέγει αὐτοῖς· Καθεύδετε τὸ λοιπὸν, καὶ ἀναπαύεσθε· ἰδοὺ, ἤγγικεν ἡ ὥρα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ, ἤγγικεν ὁ παραδιδούς με. Καὶ ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ Ἰούδας εἷς τῶν Δώδεκα, ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν Ἀρχιερέων καὶ Πρεσβυτέρων τοῦ λαοῦ. Ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον, λέγων· Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτόν. Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ, εἶπε· Χαῖρε Ῥαββί. Καὶ κατεφίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἑταῖρε, ἐφ' ᾧ πάρει; Τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. Καὶ ἰδοὺ, εἷς τῶν μετὰ Ἰησοῦ, ἐκτείνας τὴν χεῖρα, ἀπέσπασε τὴν μάχαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ Ἀρχιερέως, ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀπολοῦνται. Ἢ δοκεῖς, ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας Ἀγγέλων; πῶς οὖν πληρωθῶσιν αἱ Γραφαὶ, ὅτι οὕτω δεῖ γενέσθαι; Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· Ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην διδάσκων ἐν τῷ Ἱερῷ, καὶ οὐκ ἐκρατήσατέ με. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν Προφητῶν. Τότε οἱ Μαθηταὶ πάντες, ἀφέντες αὐτὸν, ἔφυγον. Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ, κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν Ἀρχιερέα, ὅπου οἱ Γραμματεῖς καὶ οἱ Πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ Ἀρχιερέως· καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος. Οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι, καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι· καὶ οὐχ εὗρον καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον· Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ Ἀναστὰς ὁ Ἀρχιερεὺς, εἶπεν αὐτῷ· Οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ Ἀρχιερεὺς, εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ Ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων· Ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐρράπισαν, λέγοντες· Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε. Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες, εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν· Ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος αὐτῷ· Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με. Καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς. Πρωΐας δὲ γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦ, ὥστε θανατῶσαι αὐτόν. Καὶ δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ Ἡγεμόνι.

Καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Ἀντὶ δὲ τοῦ Χερουβικοῦ καὶ τοῦ Κοινωνικοῦ, καὶ τοῦ Πληρωθήτω, ψάλλομεν τὸ παρὸν Τροπάριον. Ἦχος πλ. δ'.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Τοῦτο δὲ λέγεται πολλάκις εἰς τὸ Κοινωνικὸν, μέχρις ἂν οἱ ἀδελφοὶ μετάσχωσι τῶν ἁγίων καὶ ἀχράντων Μυστηρίων.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΕΜΠΤΗ·

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΑΧΡΑΝΤΩΝ ΠΑΘΩΝ.

Ἑσπέρας.

Περὶ τὴν ἀ. ὥραν τῆς νυκτὸς σημαίνει. Συναχθέντες δὲ ἐν τῷ Ναῷ, εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Ἑξαψάλμου.

Εἶτα Συναπτὴ μεγάλη, καὶ μετ' αὐτὴν ψάλλομεν τὸ, Ἀλληλούϊα τετράκις συντόμως. Εἶτα δὲ ἀργῶς τὸ Ὅτε οἱ ἔνδοξοι Μαθηταὶ, ἐκ τρίτου. Ὅρα σελὶς, 231. Καὶ εὐθὺς τὸ ἀκόλουθον Α'. Εὐαγγέλιον τῆς Διαθήκης.

ΕΥΑΓΓΕΛΙΟΝ ΠΡΩΤΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιγ'. 31—38 ιδ'. ιέ. ις'. ιζ'. ιή. 1.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι· ζητήσετέ με, καὶ καθὼς εἶπον τοῖς Ἰουδαίοις· Ὅτι ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν· καὶ ὑμῖν λέγω ἄρτι. Ἐντολὴν καὶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ὅπου ἐγὼ ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι· ὕστερον δὲ ἀκολουθήσεις μοι. Λέγει αὐτῷ ὁ Πέτρος· Κύριε, διατὶ οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; Ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσει, ἕως οὗ ἀπαρνήσῃ με τρίς. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μὴ, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ, καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι, καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ὑμεῖς ἦτε· καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰμὴ δι' ἐμοῦ. Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν, καὶ ἑωράκατε αὐτόν. Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με Φίλιππε; Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα καὶ πῶς σὺ λέγεις· Δεῖξον ἡμῖν τὸν Πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι; Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν Πατέρα μου πορεύομαι. Καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ Πατὴρ ἐν τῷ Υἱῷ. Ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα· τὸ Πνεῦμα τῆς ἀληθείας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. Οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρόν, καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ· ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς, ὅτι ἐγὼ ἐν τῷ Πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου, καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτόν, καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. Λέγει αὐτῷ Ἰούδας (οὐχ ὁ Ἰσκαριώτης)· Κύριε, τί γέγονεν, ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτόν, καὶ οὐχὶ τῷ κόσμῳ; Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. Ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν μένων· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν. Εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω, καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν, ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν Πατέρα· ὅτι ὁ Πατήρ μου μείζων μού ἐστί. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα, ὅταν γένηται, πιστεύσητε. Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν. Ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν Πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ Πατὴρ οὕτω ποιῶ. Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστι· Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν. Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται. Ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ ἐδοξάσθη ὁ Πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ Μαθηταί. Καθὼς ἠγάπησέ με ὁ Πατὴρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ Πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος, οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ Κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα, ἃ ἤκουσα παρὰ τοῦ Πατρός μου, ἐγνώρισα ὑμῖν. Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα ὅ,τι ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν Πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν Πατέρα μου. Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με δωρεάν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς (τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται), ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δοξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν Πατέρα, οὐδὲ ἐμέ. Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον, ὑμῖν. Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην. Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις; Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. Ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. Καὶ ἐλθὼν ἐκεῖνος, ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας, καὶ περὶ δικαιοσύνης, καὶ περὶ κρίσεως. Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· περὶ δικαιοσύνης δὲ, ὅτι πρὸς τὸν Πατέρα μου ὑπάγω, καὶ οὐκ ἔτι θεωρεῖτέ με· περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα. Εἶπον οὖν ἐκ τῶν Μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους. Τί ἐστι τοῦτο, ὃ λέγει ἡμῖν· Μικρὸν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν, καὶ ὄψεσθέ με; καί· Ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν Πατέρα; Ἔλεγον οὖν· Τοῦτο τί ἐστιν ὃ λέγει, τὸ, Μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. Ἔγνω οὖν ὁ Ἰησοῦς, ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων, ὅτι εἶπον, Μικρόν, καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρόν, καὶ ὄψεσθέ με; Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαρὰν γενήσεται. Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκ ἔτι μνημονεύει τῆς θλίψεως, διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. Καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν Πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα, ὅτε οὐκ ἔτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ Πατρὸς ἀναγγελῶ ὑμῖν. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν, ὅτι ἐγὼ ἐρωτήσω τὸν Πατέρα περὶ ὑμῶν· αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε, ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. Ἐξῆλθον παρὰ τοῦ Πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν Πατέρα. Λέγουσιν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Ἴδε, νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε; ἰδοὺ, ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ Πατὴρ μετ' ἐμοῦ ἐστι. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω. Καὶ νῦν δόξασόν με σὺ, Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι, παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις, οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. Νῦν ἔγνω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καν, ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύμε ἀπέστειλας. Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι ὅτι σοί εἰσι. Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ δεδοξασμαι ἐν αὐτοῖς. Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κοσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας· ἵνα ἡ Γραφὴ πληρωθῇ Νῦν δὲ πρός σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμενην ἐν αὐτοῖς. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου· καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσιν ἐκ τοῦ κοσμου, καθὼς ἐγὼ οὐκ εἰμι ἐκ τοῦ κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κοσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσι, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμι Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου. ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. Καθὼς ἐμὲ ἀπέστειλας εἰς τον κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κοσμον. Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. Οὐ περὶ τούτων ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευσαντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· ἵνα πάντες ἓν ὦσι, καθὼς σύ. Πάτερ, ἐν ἐμοί, κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἓν ἐσμεν. Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος, ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτούς, καθὼς ἐμὲ ἠγάπησας Πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα, ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας. Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη, ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς. Ταῦτα εἰπὼν ὁ Ἰησοῦς, ἐξῆλθε σὺν τοῖς Μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ὅπου ἦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς, καὶ οἱ Μαθηταὶ αὐτοῦ.

Εἰς δὲ τὸ τέλος ἑκάστου Εὐαγγελίου, δηλ. ἀπὸ τοῦ Α'. Εὐαγγελίου μέχρι τοῦ ΙΑ'. ψαλλομεν τὸ Δοξα τῇ μακροθυμίᾳ σου Κύριε, δοξα σοι. Το δὲ δωδέκατον Εὐαγ. ἀναγινώσκεται ἐπ' Ἀμβωνος. Εἰς δὲ τὸ τέλος ψάλ. Δοξα σοι Κύριε, δοξα σοι.

Εἶτα ψάλλομεν τὰ ἑπόμενα Ἀντίφωνα. Ἀντίφ. Α'. Ἦχος πλ δ'.

Ἄρχοντες λαῶν συνήχθησαν κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Λογον παράνομον, κατέθεντο κατ' ἐμοῦ· Κύριε Κύριε, μὴ ἐγκαταλίπῃς με.

Τὰς αἰσθήσεις ἡμῶν καθαρὰς τῷ Χριστῷ παραστήσωμεν, καὶ ὡς φίλοι αὐτοῦ, τὰς ψυχὰς ἡμῶν θύσωμεν δι' αὐτὸν, καὶ μὴ ταῖς μερίμναις τοῦ βίου, συμπνιγῶμεν ὡς ὁ Ἰούδας· ἀλλ' ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν· Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, ἀπὸ τοῦ πονηροῦ ῥῦσαι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, Μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία· Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι ἡμᾶς.

Ἀντίφωνον Β'. Ἦχος πλ'. β'.

Ἕδραμε λέγων ὁ Ἰούδας τοῖς παρανόμοις γραμματεῦσι· Τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἐν μέσῳ δὲ τῶν συμφωνούντων, αὐτὸς εἱστήκεις ἀοράτως συμφωνούμενος. Καρδιογνῶστα φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Ἐν ἐλέει τὸν Θεὸν θεραπεύσωμεν, ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου, καὶ μὴ κτησώμεθα φιλαργυρίαν, ὡς ὁ Ἰούδας, ἵνα πάντοτε μετὰ Χριστοῦ, τοῦ Θεοῦ ἐσώμεθα.

Δοξα, καὶ νῦν Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ὃν ἔτεκες Παρθένε ἀνερμηνεύτως, διὰ παντὸς ὡς φιλάνθρωπον, μὴ διαλίπῃς ἐκδυσωποῦσα, ἵνα κινδύνων σώσῃ, τοὺς εἰς σὲ καταφεύγοντας.

Ἀντίφωνον Γ'. Ἦχος β'.

Διὰ Λαζάρου τὴν ἔγερσιν Κύριε, τὸ Ὡσαννά σοι ἐκραύγαζον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παῖδες τῶν Ἑβραίων Φιλάνθρωπε· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ δείπνῳ σου Χριστὲ ὁ Θεός, τοῖς Μαθηταῖς σου προέλεγες· Εἷς ἐξ ὑμῶν παραδώσει με· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Ἰωάννῃ ἐρωτίσαντι Κύριε, ὁ παραδιδούς σε τίς ἐστι; τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Εἰς τριάκοντα ἀργύρια Κύριε, καὶ εἰς φίλημα δόλιον, ἐζήτουν Ἰουδαῖοι ἀποκτεῖναί σε· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Ἐν τῷ Νιπτῆρί σου Χριστὲ ὁ Θεός, τοῖς Μαθηταῖς σου προέτρεπες· Οὕτω ποιεῖτε ὥσπερ εἴδετε· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, τοῖς Μαθηταῖς σου ὁ Θεὸς ἡμῶν ἔλεγες· ὁ δὲ παράνομος Ἰούδας, οὐκ ἠβουλήθη συνιέναι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Διάσωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄῤῥηκτον τεῖχος, καὶ προστασίαν.

Κάθισμα. Ἦχος βαρύς.

Ἐν τῷ δείπνῳ τοὺς Μαθητὰς διατρέφων, καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων, ἐν αὐτῷ τὸν Ἰούδαν διήλεγξας· ἀδιορθωτον μὲν τοῦτον ἐπιστάμενος, γνωρίσαι δὲ πᾶσι βουλόμενος, ὅτι θέλων παρεδόθης, ἵνα κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου Μακρόθυμε δόξα σοι

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ΙΗ'. 1—28.

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ἰησοῦς σὺν τοῖς Μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάῤῥου τῶν Κέδρων, ὅπου ἦν κῆπος εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ Μαθηταὶ αὐτοῦ. Ἤδει δὲ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, τὸν τόπον· ὅτι πολλάκις συνήχθη ἐκεῖ ὁ Ἰησοῦς μετὰ τῶν Μαθητῶν αὐτοῦ. Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν Ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς. Τίνα ζητεῖτε; Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας, ὁ παραδιδοὺς αὐτὸν, μετ᾽ αὐτῶν. Ὡς οὖν εἶπεν αὐτοῖς, ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. Πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. Ἀπεκρίθη ὁ Ἰησοῦς· Εἶπον ὑμῖν, ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν. Ἵνα πληρωθῇ ὁ λόγος, ὃν εἶπεν· Ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτὴν, καὶ ἔπαισε τὸν τοῦ Ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σου εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ Πατὴρ, οὐ μὴ πίω αὐτό; Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν, καὶ ἔδησαν αὐτόν· καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν Ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις, ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ. Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος Μαθητής· ὁ δὲ Μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ Ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ Ἀρχιερέως· ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. Ἐξῆλθεν οὖν ὁ Μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ Ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν Μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμι. Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ᾽ αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Ὁ οὖν Ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν Μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ Συναγωγῇ καὶ ἐν τῷ Ἱερῷ, ὅπου πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κρυπτῷ ἐλάλησα οὐδέν· τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας, τί ἐλάλησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἷς τῶν ὑπηρετῶν παρεστηκώς, ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰπών· Οὕτως ἀποκρίνῃ τῷ Ἀρχιερεῖ; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; Ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν Ἀρχιερέα. Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. Εἶπον οὖν αὐτῷ οἱ ὑπηρέται· Μὴ καὶ σὺ ἐκ τῶν Μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν· οὐκ εἰμι. Λέγει εἷς ἐκ τῶν δούλων τοῦ Ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; Πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ Πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ Πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα.

Ἀντίφωνον Δ'. Ἦχος πλ. ά.

Σήμερον ὁ Ἰούδας, καταλιμπάνει τὸν Διδάσκαλον, καὶ παραλαμβάνει τὸν διάβολον· τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας, ἐκπίπτει τοῦ φωτός, ὁ ἐσκοτισμένος· πῶς γὰρ ἠδύνατο βλέπειν, ὁ τὸν φωστῆρα πωλήσας, τριάκοντα ἀργυρίων; ἀλλ' ἡμῖν ἀνέτειλεν ὁ παθὼν ὑπὲρ τοῦ κόσμου· πρὸς ὃν βοήσωμεν· Ὁ παθὼν, καὶ συμπαθῶν ἀνθρώποις, δόξα σοι.

Σήμερον ὁ Ἰούδας παραποιεῖται θεοσέβειαν, καὶ ἀλλοτριοῦται τοῦ χαρίσματος· ὑπάρχων μαθητὴς, γίνεται προδότης· ἐν ἤθει φιλικῷ, δόλον ὑποκρύπτει, καὶ προτιμᾶται ἀφρόνως τῆς τοῦ Δεσπότου ἀγάπης, τριάκοντα ἀργύρια, ὁδηγὸς γενόμενος, συνεδρίου παρανόμου. Ἡμεῖς δὲ ἔχοντες σωτηρίαν τὸν Χριστὸν αὐτὸν δοξάσωμεν

Ἦχος ά.

Τὴν φιλαδελφίαν κτησώμεθα, ὡς ἐν Χριστῷ ἀδελφοί, καὶ μὴ τὸ ἀσυμπαθὲς πρὸς τοὺς πλησίον ἡμῶν, ἵνα μὴ ὡς ὁ δοῦλος κατακριθῶμεν, ὁ ἀνελεήμων διὰ τὰ δηνάρια, καὶ ὡς ὁ Ἰούδας μεταμεληθέντες, μηδὲν ὠφελήσωμεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Δεδοξασμένα περὶ σοῦ, ἐλαλήθη πανταχοῦ, ὅτι ἐκύησας σαρκὶ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν τῶν ὅλων Ποιητὴν, Θεοτόκε Μαρία, πανύμνητε καὶ ἀπειρόγαμε

Ἀντίφωνον Ε'. Ἦχος πλ. β'.

Ὁ μαθητὴς τοῦ Διδασκάλου, συνεφώνει τὴν τιμὴν, καὶ τριάκοντα ἀργυρίοις, πέπρακε τὸν Κύριον, φιλήματι δολίῳ παραδοὺς αὐτὸν, τοῖς ἀνόμοις εἰς θάνατον.

Σήμερον ἔλεγεν ὁ Κτίστης Οὐρανοῦ καὶ γῆς, τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἤγγικεν ἡ ὥρα, καὶ ἔρθασεν Ἰούδας ὁ παραδιδούς με· μή τίς με ἀρνήσηται, βλέπων με ἐν τῷ σταυρῷ, ἐν μέσῳ δύο λῃστῶν· πάσχω γὰρ ὡς ἄνθρωπος, καὶ σώζω ὡς φιλάνθρωπος, τοὺς εἰς ἐμὲ πιστεύοντας.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ἡ ἀῤῥήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα, τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας.

Ἀντίφωνον ς'. Ἦχος βαρύς.

Σήμερον γρηγορεῖ ὁ Ἰούδας, παραδοῦναι τὸν Κύριον, τὸν πρὸ τῶν αἰώνων Σωτῆρα τοῦ Κόσμου, τὸν ἐκ πέντε ἄρτων, χορτάσαντα πλήθη. Σήμερον ὁ ἄνομος, ἀρνεῖται τὸν Διδάσκαλον· μαθητὴς γενόμενος, Δεσπότην παρέδωκεν· ἀργυρίῳ πέπρακε, τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Σήμερον τῷ Σταυρῷ προσήλωσαν, Ἰουδαῖοι τὸν Κύριον, τὸν διατεμόντα τὴν θάλασσαν ῥάβδῳ, καὶ διαγαγόντα αὐτοὺς ἐν ἐρήμῳ. Σήμερον τῇ λογχῇ τὴν πλευρὰν αὐτοῦ ἐκέντησαν, τοῦ πληγαῖς μαστίξαντος, ὑπὲρ αὐτῶν τὴν Αἴγυπτον, καὶ χολὴν ἐποτισαν, τὸν μάννα, τροφὴν αὐτοῖς ὁμβρήσαντα.

Κύριε, ἐπὶ τὸ πάθος τὸ ἑκούσιον, παραγενόμενος, ἐβόας τοῖς Μαθηταῖς σου· Κἂν μίαν ὥραν οὐκ ἰσχύσατε, ἀγρυπνῆσαι μετ' ἐμοῦ, πῶς ἐπηγγείλατε, ἀποθνήσκειν δι' ἐμέ; κἂν τὸν Ἰούδαν θεάσασθε, πῶς οὐ καθεύδει, ἀλλὰ σπουδάζει προδοῦναί με τοῖς παρανόμοις. Ἐγείρεσθε, προσεύξασθε, μή τίς με ἀρνήσητε, βλέπων με ἐν τῷ σταυρῷ, Μακροθυμε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Χαῖρε Θεοτόκε, ἡ τὸν ἀχώρητον ἐν Οὐρανοῖς, χωρήσασα ἐν μήτρᾳ σου· Χαῖρε Παρθένε, τῶν Προφητῶν τὸ κήρυγμα, δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ· Χαῖρε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κάθισμα. Ἦχος βαρύς.

Ποῖός σε τρόπος Ἰούδα, προδότην τοῦ Σωτῆρος εἰργάσατο; μὴ τοῦ χοροῦ σε τῶν Ἀποστόλων ἐχώρισε; μὴ τοῦ χαρίσματος τῶν ἰαμάτων ἐστέρησε; μὴ συνδειπνήσας ἐκείνοις, σὲ τῆς τραπέζης ἀπώσατο; μὴ τῶν ἄλλων νίψας τοὺς πόδας, τοὺς σοὺς ὑπερεῖδεν; Ὢ πόσων ἀγαθῶν ἀμνήμων ἐγένου! Καὶ σοῦ μὲν ἡ ἀχάριστος, στηλιτεύεται γνώμη· αὐτοῦ δὲ ἡ ἀνείκαστος, μακροθυμία κηρύττεται, καὶ τὸ μέγα ἔλεος.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΡΙΤΟΝ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. Κς'. 57—75.

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν, ἀπήγαγον πρὸς Καϊάφαν τὸν Ἀρχιερέα, ὅπου οἱ Γραμματεῖς καὶ οἱ Πρεσβύτεροι συνήχθησαν. Ὁ δὲ Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν, ἕως τῆς αὐλῆς τοῦ Ἀρχιερέως· καὶ εἰσελθὼν ἔσω, ἐκάθητο μετὰ τῶν ὑπηρετῶν, ἰδεῖν τὸ τέλος. Οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι καὶ τὸ συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν θανατώσωσι· καὶ οὐχ εὗρον καὶ πολλῶν ψευδομαρτύρων προσελθόντων, οὐχ εὗρον. Ὕστερον δὲ προσελθόντες δύο ψευδομάρτυρες, εἶπον· Οὗτος ἔφη· Δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ, καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν. Καὶ ἀναστὰς ὁ Ἀρχιερεὺς εἶπεν αὐτῷ· Οὐδὲν ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; Ὁ δὲ Ἰησοῦς ἐσιώπα. Καὶ ἀποκριθεὶς ὁ Ἀρχιερεὺς εἶπεν αὐτῷ· Ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ ζῶντος, ἵνα ἡμῖν εἴπῃς, εἰ σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Σὺ εἶπας· πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Τότε ὁ Ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ, λέγων, ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ἴδε, νῦν ἠκούσατε τὴν βλασφημίαν αὐτοῦ. Τί ὑμῖν δοκεῖ; Οἱ δὲ ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί. Τότε ἐνέπτυσαν εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ ἐκολάφισαν αὐτόν· οἱ δὲ ἐρράπισαν, λέγοντες· Προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε; Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ. Καὶ προσῆλθεν αὐτῷ μία παι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίσκη, λέγουσα· Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων, λέγων· Οὐκ οἶδα τί λέγεις. Ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα, εἶδεν αὐτὸν ἄλλη, καὶ λέγει τοῖς ἐκεῖ· Καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. Καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. Μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· Ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. Τότε ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. Καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ Ἰησοῦ, εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω, ἔκλαυσε πικρῶς.

Ἀντίφωνον Ζ'. Ἦχος πλ. δ'.

Τοῖς συλλαβοῦσί σε παρανόμοις, ἀνεχόμενος, οὕτως ἐβόας Κύριε· Εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς Μαθητάς μου, ἠδυνάμην πλείους, ἢ δώδεκα λεγεῶνας παραστῆσαι Ἀγγέλων ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν Προφητῶν μου, ἄδηλα καὶ κρύφια· Κύριε δόξα σοι.

Τρίτον ἀρνησάμενος ὁ Πέτρος, εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν, ἀλλὰ προσήγαγέ σοι δάκρυα μετανοίας· Ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος Ὁ αὐτός.

Ὡς πύλην σωτήριον, καὶ Παράδεισον τερπνόν, καὶ φωτὸς αἴδιον, νεφέλην ὑπάρχουσαν, τὴν ἁγίαν Παρθένον ὑμνήσωμεν ἅπαντες, λέγοντες τὸ χαῖρε αὐτῇ.

Ἀντίφωνον Η'. Ἦχος β'.

Εἴπατε παράνομοι· τί ἠκούσατε παρὰ τοῦ Σωτῆρος ἡμῶν; οὐ νόμον ἐξέθετο, καὶ τῶν Προφητῶν τὰ διδάγματα; πῶς οὖν ἐλογίσασθε Πιλάτῳ παραδοῦναι, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν;

Σταυρωθήτω ἔκραζον, οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες, καὶ κακοῦργον ἀντ' εὐεργέτου, ἠτοῦντο λαβεῖν, οἱ τῶν δικαίων φονευταί· ἐσιώπας δὲ Χριστὲ, φέρων αὐτῶν τὴν προπέτειαν, παθεῖν θέλων, καὶ σῶσαι ἡμᾶς ὡς φιλάνθρωπος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δόξα, καὶ νῦν. Θεοτοκίον· ἦχος Ὁ αὐτός.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν, διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς, πρὸς εὐμένειαν Δεσπότου· μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος, ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἀντίφωνον Θ'. Ἦχος γ'.

Ἔστησαν τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ. Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα προθυμον, ἡ δὲ σὰρξ ἀσθενής· διὰ τοῦτο γρηγορεῖτε.

Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· σὺ δὲ Κύριε ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

Δόξα, καὶ νῦν. Θεοτοκίον· ἦχος ὁ αὐτός.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε Θεοτόκε ἁγνὴ ὅτι Χριστὸν τὸν Θεὸν ἡμῶν ἔτεκες, τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους διὰ σοῦ ἐλευθερώσαντα.

Κάθισμα. Ἦχος πλ. δ'.

Ὦ πῶς Ἰούδας ὁ ποτέ σου μαθητὴς, τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ! συνεδείπνησε δολίως, ὁ ἐπίβουλος καὶ ἄδικος· πορευθεὶς εἶπε τοῖς Ἱερεῦσι· Τί μοι παρέχετε, καὶ παραδώσω ὑμῖν ἐκεῖνον, τὸν τὸν νόμον λύσαντα, καὶ βεβηλοῦντα τὸ Σάββατον; Μακρόθυμε Κύριε δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιη'. 28—40. ιθ'. 1 - 16

Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ Πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ Πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα. Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα. Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. Εἰσῆλθεν οὖν εἰς τὸ Πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; Ἀπεκρίθη ὁ Πιλάτος· Μή τι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ Ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; Ἀπεκρίθη ὁ Ἰησοῦς· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεὺς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις, ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς. Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἡ ἀλήθεια; Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν [αἰτίαν εὑρίσκω ἐν αὐτῷ. Ἔστι δὲ συνήθεια ὑμῖν, ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ Πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν Βασιλέα τῶν Ἰουδαίων; Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής. Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε. Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, καὶ ἔλεγον· Χαῖρε, ὁ Βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος. Ὅτε οὖν εἶδον αὐτὸν οἱ Ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν τοῦ Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη· καὶ εἰσῆλθεν εἰς τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέσοι μείζωνα ἁμαρτίαν ἔχει. Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι· Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τοπον λεγομενον «Λιθόστροτον», Ἑβραϊστὶ δὲ «Γαββαθᾶ»· ἦν δὲ Παρασκευὴ τοῦ Πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε Ὁ Βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν· Ἆρον, ἆρον, σταύρωσον αὐτον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν Βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ Ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.

Ἀντίφωνον Γ'. ἦχος πλ. δ'.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, γυμνὸς εἰς κρίσιν ἵστατο, καὶ ἐν σιαγόνι, ῥάπισμα ἐδέξατο, ὑπὸ χειρῶν ὧν ἔπλασεν· ὁ δὲ παράνομος λαός, τῷ σταυρῷ προσήλωσε, τὸν Κύριον τῆς δοξης· τότε τὸ καταπέτασμα τοῦ Ναοῦ ἐσχίσθη· ὁ ἥλιος ἐσκότασε, μὴ φέρων θεάσασθαι Θεὸν ὑβριζομενον, ὃν τρέμει τὰ σύμπαντα· Αὐτὸν προσκυνήσωμεν.

Ὁ μαθητὴς ἠρνήσατο, ὁ λῃστὴς ἐβόησε· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον· ἦχος ὁ αὐτός.

Εἰρήνευσον τὸν Κόσμον, ὁ ἐκ Παρθένου καταδεξάμενος Κύριε, σάρκα φορέσαι ὑπὲρ δούλων, ἵνα συμφώνως, σὲ δοξολογῶμεν φιλάνθρωπε.

Ἀντίφωνον ΙΑ' ἦχος πλ. δ'.

Ἀντὶ ἀγαθῶν, ὧν ἐποίησας Χριστὲ, τῷ γένει τῶν Ἑβραίων, σταυρωθῆναί σε κατεδίκασαν, ὄξος καὶ χολὴν σε ποτίσαντες. Ἀλλὰ δὸς αὐτοῖς Κύριε κατὰ τὰ ἔργα αὐτῶν, ὅτι οὐ συνῆκαν τὴν σὴν συγκατάβασιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐπὶ τῇ προδοσίᾳ οὐκ ἠρκέσθησαν Χριστὲ τὰ γένη τῶν Ἑβραίων, ἀλλ' ἐκίνουν τὰς κεφαλὰς αὐτῶν, μυκτηρισμὸν καὶ χλεύην προσάγοντες. Ἀλλὰ δὸς αὐτοῖς Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Οὔτε γῆ ὡς ἐσείσθη, οὔτε πέτραι ὡς ἐῤῥάγησαν, Ἑβραίους ἔπεισαν, οὔτε τοῦ Ναοῦ τὸ καταπέτασμα, οὔτε τῶν νεκρῶν ἡ ἀνάστασις. Ἀλλὰ δὸς αὐτοῖς Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη· διὸ ἀπαύστως, σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Ἀντίφωνον ΙΒ'. Ἦχος πλ. δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις· Λαός μου τί ἐποίησά σοι, ἢ τί σοι παρηνώχλησα; τοὺς τυφλούς σου ἐφώτισα τοὺς λεπρούς σου ἐκαθάρισα. ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην. Λαός μου, τί ἐποίησά σοι, καὶ τί μοι ἀνταπέδωκας; ἀντὶ τοῦ μάννα χολήν· ἀντὶ τοῦ ὕδατος ὄξος· ἀντὶ τοῦ ἀγαπᾶν με, σταυρῷ με προσηλώσατε. Οὐκέτι στέγω λοιπὸν, καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι· κἀγὼ αὐτοῖς δωρήσομαι, ζωὴν τὴν αἰώνιον.

Σήμερον τοῦ Ναοῦ τὸ καταπέτασμα, εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων· καὶ τὰς ἰδίας ἀκτῖνας, ὁ ἥλιος κρύπτει, Δεσπότην ὁρῶν σταυρούμενον.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ, Ἰουδαῖοι καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· Ἴδε ναὸς, ὃν ὑμεῖς ἐλύσατε· ἴδε ἀμνὸς, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη. Μὴ πλανᾶσθε Ἰουδαῖοι· αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ κόσμου.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Χαῖρε ἡ πύλη τοῦ Βασιλέως τῆς δόξης, ἣν ὁ Ὕψιστος μόνος διώδευσε, καὶ πάλιν ἐσφραγισμένην κατέλιπεν, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Κάθισμα. Ἦχος πλ. δ'.

Ὅτε παρέστης τῷ Καϊάφᾳ ὁ Θεὸς, καὶ παρεδόθης τῷ Πιλάτῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ Κριτής, αἱ οὐράνιαι Δυνάμεις, ἐκ τοῦ φόβου ἐσαλεύθησαν· τότε δὲ καὶ ὑψώθης ἐπὶ τοῦ ξύλου ἐν μέσῳ δύο λῃττῶν, καὶ ἐλογίσθης μετὰ ἀνόμων ὁ ἀναμάρτητος, διὰ τὸ σῶσαι τὸν ἄνθρωπον. Ἀνεξίκακε Κύριε, δόξα σοι.

ΕΥΑΓΓΕΔΙΟΝ ΠΕΜΤΟΝ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΖ. 3 — 32.

Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν Ἰούδας, ὅτι ὁ Ἰησοῦς κατεκρίθη, μεταμεληθείς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Πρεσβυτέροις, λέγων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον· Τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε· καὶ ἀπελθὼν, ἀπήγξατο. Οἱ δὲ Ἀρχιερεῖς, λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ Κεραμέως, εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, Ἀγρὸς αἵματος, ἕως τῆς σήμερον. (Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ Προφήτου, λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ Κεραμέως, καθὰ συνέταξέ μοι Κύριος). Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ Ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ Ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν Ἀρχιερέων καὶ τῶν Πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν Ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν, εἰώθει ὁ Ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον, λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ᾔδει γὰρ, ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδὲν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀπο
κριθεὶς δὲ ὁ Ἡγεμών, εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύ
ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλά
τος· Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Λέγουσι
αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ Ἡγεμὼν ἔφη· Τί γὰρ κακὸ
ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες· Σταυρωθήτω. Ἰ
δὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνε
ται, λαβὼν ὕδωρ, ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου
λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος, τοῦ δικαίου τούτου· ὑμεῖ
ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαός, εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς
καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν
τὸν δὲ Ἰησοῦν φραγγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. Τότ
οἱ στρατιῶται τοῦ Ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τ
Πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύ
σαντες αὐτόν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην· καὶ πλέξαν
τες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, κα
κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθε
αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες· Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰου
δαίων. Καὶ ἐμπτύσαντες εἰς αὐτόν, ἔλαβον τὸν κάλαμον, καὶ ἔ
τυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ· Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέ
δυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐ
τοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ
εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευ
σαν, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Ἀντίφωνον Γ'. Ἦχος πλ. β'.

Τὸ ἄθροισμα τῶν Ἰουδαίων, τῷ Πιλάτῳ ἠτήσαντο, σταυ
ρωθῆναί σε Κύριε· αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες, τὸν ὑπεύθυ
νον Βαραββᾶν ἠλευθέρωσαν, καὶ σὲ τὸν Δίκαιον κατεδίκασαν
μιαιφονίας ἔγκλημα κληρωσάμενοι. Ἀλλὰ δὸς αὐτοῖς Κύριε, τ
ἀνταπόδομα αὐτῶν, ὅτι κενὰ, κατὰ σοῦ ἐμελέτησαν.

Ὃν πάντα φρίσσει καὶ τρέμει, καὶ πᾶσα γλῶσσα ὑμνεῖ, Χριστὸ
Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν, οἱ Ἱερεῖς ἐῤῥάπισαν, καὶ ἔδω
καν αὐτῷ χολήν· καὶ πάντα παθεῖν κατεδέξατο, σῶσαι θέλω
ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῷ ἰδίῳ Αἵματι, ὡς φιλάνθρωπο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δόξα, καὶ νῦν. Θεοτοκίον· ἦχος ὁ αὐτός.

Θεοτόκε ἡ τεκοῦσα, διὰ λόγου ὑπὲρ λόγον, τὸν Κτίστην τὸν ἴδιον, αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντίφωνον ΙΔ'. Ἦχος πλ. δ'.

Κύριε, ὁ τὸν Λῃστὴν συναδοιπόρον λαβών, τὸν ἐν αἵματι χεῖρας μολύναντα, καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Μικρὰν φωνὴν ἀφῆκεν ὁ Λῃστὴς ἐν τῷ σταυρῷ, μεγάλην πίστιν εὗρε, μιᾷ ῥοπῇ ἐσώθη, καὶ πρῶτος Παραδείσου, πύλας ἀνοίξας εἰσῆλθεν· ὁ αὐτοῦ τὴν μετάνοιαν προσδεξάμενος, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον· ἦχος Ὁ αὐτός.

Χαῖρε ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ Κόσμου δεξαμένη· χαῖρε ἡ τεκοῦσα τὸν ποιητήν σου καὶ Κύριον, χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ἀντίφωνον ΙΕ'. Ἦχος πλ. β'.

Τὸ παρὸν ἀπαγγέλλεται πρῶτον ὑπὸ τοῦ Ἱερέως, ἐξερχομένου τοῦ ἱεροῦ καὶ κρατοῦντος τὸν τίμιον σταυρὸν, εἶτα δὲ ψάλλεται ὑπ' ἀμφοτέρων τῶν χορῶν κατὰ στίχον.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας. (Ἐκ γ') Στέφανον ἐξ ἀκανθῶν περιτίθεται, ὁ τῶν Ἀγγέλων Βασιλεύς. Ψευδῆ πορφύραν περιβάλλεται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις. Ῥάπισμα κατεδέξατο, ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ. Ἧλοις προσηλώθη, ὁ Νυμφίος τῆς Ἐκκλησίας. Λόγχῃ ἐκεντήθη, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυοῦμέν σου τὰ Πάθη Χριστέ. (Ἐκ γ'.) Δεῖξον ἡμῖν, καὶ τὴν ἔνδοξόν σου Ἀνάστασιν.

Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν· καὶ γὰρ τὸ Πάσχα ἡμῶν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστὸς ὁ Θεός· ἀλλ' ἐκκαθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ, καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ· Ἀνάστα Κύριε, σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὁ Σταυρός σου Κύριε, ζωὴ καὶ ἀνάστασις, ὑπάρχει τῷ λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα, Θεὸν ἡμῶν ὑμνοῦμεν· ἐλέησον ἡμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δοξα, καὶ νῦν Θεοτοκίον. Ἦχος ὁ αὐτός.

Ὁρῶτά σε κρεμάμενον, Χριστέ, ἡ σὲ κτήτασα, ἀνέβοα· Τί τὸ ξένον ὃ ὁρῶ, μυστήριον Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις, σαρκὶ πηγνύμενος, ζωῆς χορηγέ;

Κάθισμα. Ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις· Σωτὴρ ἡμῶν δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΕΚΤΟΝ.

Ἐκ τοῦ κατὰ Μάρκον. ΙΕ'. 16 – 32.

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι Πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον. Καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, καὶ λέγειν· Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ· καὶ τιθέντες τὰ γόνατα, προσεκύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· Καὶ ἐξάγουσιν αὐτόν, ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον· ὅ ἐστι μεθερμηνευόμενον Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτὸν, διεμέριζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτὰ, τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς, ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ Γραφὴ, ἡ λέγουσα· «Καὶ μετὰ ἀνόμων ἐλογίσθη» Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Οὐά, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν, καὶ κατάβα ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ Ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους, μετὰ τῶν Γραμματέων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Χριστὸς ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ.

Εἶτα ψάλλομεν τοὺς Μακαρισμοὺς εἰς Στίχ. ἦχος δ'.

Ἐν τῇ Βασιλείᾳ σου Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Διὰ ξύλου ὁ Ἀδὰμ, παράδεισου γέγονεν ἄποικος· διὰ ξύλου δὲ σταυροῦ, ὁ Λῃστὴς Παράδεισον ᾤκησεν· ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος· ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον. Μνήσθητι καὶ ἡμῶν Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Τὸν τοῦ νόμου Ποιητὴν, ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι, καὶ ὡς παράνομον αὐτὸν, τῷ Πιλάτου βήματι ἔστησαν, κραυγάζοντες· Σταύρωσον, τὸν ἐν ἐρήμῳ τούτους μαννοδοτήσαντα. Ἡμεῖς δὲ τὸν δίκαιον, Λῃστὴν μισησάμενοι, πίστει κράζομεν· Μνήσθητι καὶ ἡμῶν Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Τῶν θεοκτόνων ὁ ἐσμὸς, Ἰουδαίων ἔθνος τὸ ἄνομον, πρὸς Πιλάτον ἐμμανῶς, ἀνακράζων ἔλεγε· Σταύρωσον, Χριστὸν τὸν ἀνεύθυνον· Βαραββᾶν δὲ μᾶλλον οὗτοι ἠτήσαντο. Ἡμεῖς δὲ φθεγγομεθα, Λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτόν· Μνήσθητι καὶ ἡμῶν Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Ἡ ζωηφόρος σου Πλευρὰ, ὡς ἐξ Ἐδὲμ πηγὴ ἀναβλύζουσα, τὴν Ἐκκλησίαν σου Χριστὲ, ὡς λογικὸν ποτίζει Παράδεισον, ἐντεῦθεν μερίζουσα, ὡς εἰς ἀρχὰς εἰς τέσσαρα Εὐαγγέλια, τὸν κόσμον ἀρδεύουσα, τὴν κτίσιν εὐφραίνουσα, καὶ τὰ ἔθνη πιστῶς, διδάσκουσα, προσκυνεῖν τὴν Βασιλείαν σου.

Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοὶ Υἱοὶ Θεοῦ κληθήσονται.

Ἐσταυρώθης δι' ἐμὲ, ἵνα ἐμοὶ πηγάσῃς τὴν ἄφεσιν ἐκεντήθης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὴν πλευράν, ἵνα κρουνοὺς ζωῆς ἀναβλύσῃς μοι· τοῖς ἅλοις προσήλωσαι, ἵνα ἐγὼ τῷ βάθει τῶν παθημάτων σου, τὸ ὕψος τοῦ κράτους σου, πιστούμενος κράζω σοι ζωοδότα Χριστέ· Δόξα καὶ τῷ Σταυρῷ Σῶτερ, καὶ τῷ πάθει σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Σταυρουμένου σου Χριστέ, πᾶσα ἡ Κτίσις βλέπουσα ἔτρεμε· τὰ θεμέλια τῆς γῆς, διεδονεῖτο φόβῳ τοῦ κράτους σου· φωστῆρες ἐκρύπτοντο, καὶ τοῦ Ναοῦ ἐρράγη τὸ καταπέτασμα· τὰ ὄρη ἐτρόμαξαν, καὶ πέτραι ἐσχίσθησαν, καὶ Δῃστὴς ὁ πιστός, κραυγάζει σοι σὺν ἡμῖν, Σωτὴρ τὸ Μνήσθητι.

Μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Τὸ χειρόγραφον ἡμῶν, ἐν τῷ Σταυρῷ διερρήξας Κύριε, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, τὸν ἐκεῖσε τύραννον ἔδησας, ῥυσάμενος ἅπαντας, ἐκ δεσμῶν θανάτου τῇ ἀναστάσει σου· δι' ἧς ἐφωτίσθημεν, φιλάνθρωπε Κύριε, καὶ βοῶμέν σοι· Μνήσθητι καὶ ἡμῶν Σωτὴρ, ἐν τῇ Βασελείᾳ σου.

Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ, καὶ τοῦ θανάτου λύσας τὴν δύναμιν, καὶ ἐξαλείψας ὡς Θεὸς, τὸ καθ' ἡμῶν χειρόγραφον Κύριε, Δῃστοῦ τὴν μετάνοιαν, καὶ ἡμῖν παράσχου μόνε φιλάνθρωπε, τοῖς πίστει λατρεύουσι, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι· Μνήσθητι καὶ ἡμῶν Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα πάντες τὸ Ἅγιον, ὁμοφρόνως οἱ πιστοὶ, δοξολογεῖν ἀξίως εὐξώμεθα, Μονάδα Θεότητος, ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν, ἁπλῆν ἀδιαίρετον καὶ ἀπρόσιτον· δι' ἧς ἐκλυτρούμεθα, τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου Χριστὲ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον μείνασαν ἄφθορον, αὐτήν σοι προσάγομεν, εἰς πρεσβείαν Δέσποτα πολυέλεε, πταισμά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των συγχώρησιν, δωρήσασθαι πάντοτε, τοῖς κραυγάζουσι· Μνήσθητι καὶ ἡμῶν Σωτὴρ ἐν τῇ Βασιλείᾳ σου.

Τὸ παρὸν Προκείμενον ψάλ. ἐκ γ'. Ἦχος δ'.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.

Στίχ. Ὁ Θεός ὁ Θεός μου, πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με;

ΕΥΑΓΓΕΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ΚΖ'. 33—54.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντες οἱ στρατιῶται εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτόν διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Προφήτου· «Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ καθήμενοι ἐτήρουν, αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ, γεγραμμένην· «Οὗτός ἐστιν Ἰησοῦς ὁ Βασιλεὺς τῶν Ἰουδαίων». Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ Ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ τῶν Γραμματέων καὶ Πρεσβυτέρων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ Βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ, ὅτι Θεοῦ εἰμι Υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταί, οἱ συσταυρωθέντες αὐτῷ, ὠνείδιζον αὐτῷ. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης. Περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· «Ἠλὶ, Ἠλὶ, λαμᾶ σαβαχθανί»· τουτέστι, «Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;» Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων, ἀκούσαντες, ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτον. Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ ἀφῆκε το πνεῦμα. Καὶ ἰδού, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπο ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἠνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἁγίων ἠγέρθη, καὶ ἐξελθοντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν Πολιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ Ἑκατονταρχος καὶ οἱ μετ' αὐτοῦ τηροῦντες τὸν Ἰησοῦν, ἰδοντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφοδρα, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος.

Εἶτα ὁ Πεντηκοστὸς Ψαλμός· καὶ εὐθὺς, τὸ

ΕΥΑΓΓΕΛΙΟΝ ΟΓΔΟΟΝ.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. ΚΓ'. 32—49.

Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο σὺν τῷ Ἰησοῦ καὶ ἕτεροι δύο κακοῦργοι, σὺν αὐτῷ ἀναιρεθῆναι. Καὶ ὅτε ἀπῆλθον ἐπὶ τόν τοπον τον καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν. καὶ τοὺς κακούργους· ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν. Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς, οὐ γαρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τα ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον. Καὶ εἱστήκει ὁ λαος θεωρῶν· ἐξεμυκτήριζον δὲ καὶ οἱ Ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλους ἔσωσε, σωσατω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς, ὁ τοῦ Θεοῦ ἐκλεκτός. Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχομενοι καὶ ὄξος προσφέροντες αὐτῷ, καὶ λέγοντες· Εἰ σὺ εἰ ὁ Βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν· Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς «Οὗτος ἐστιν ὁ Βασιλεὺς τῶν Ἰουδαίων.» Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν, λέγων· Εἰ σὺ εἰ ὁ Χριστός, σῶσον σεαυτόν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· «Μνήσθητί μου, Κύριε, ὅταν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.» Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σημερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης· καὶ ἐσκοτίσθη ὁ ἥλιος· καὶ ἐσχίσθη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς, εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατθησομαι τὸ Πνεῦμα μου. Καὶ ταῦτα εἰπὼν, ἐξέπνευσεν· Ἰδὼν δὲ ὁ Ἑκατονταρχος το γενομενον, ἐδοξασε τον Θεὸν, λέγων Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν. Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταυτην, θεωροῦντες τὰ γενομενα, τυπτοντες ἑαυτῶν τὰ στήθη ὑπεστρεφον. Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακροθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ απο τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Καὶ εὐθὺς ἄρχεται ὁ ἀ. χορὸς ψάλ. τὸν ἑπόμενον Κανόνα, ἀνὰ δ'. εἰς ἑκαστην ᾠδην· ὁ δὲ Εἱρμος επαναλαμβάν. ἀργῶς.

Ποίημα Κοσμᾶ Μοναχοῦ.

Ὠδὴ ἐ. Ἦχος πλ. β'. Ὁ Εἱρμος.

» Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτον τῷ πεσόν-
» τι κενώσαντα ἀτρέπτως, καὶ μέχρι παθῶν, ἀπαθῶς ὑποκυ-
» ψαντα, Λογε Θεοῦ· Τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Τροπάρια.

Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες, μυστηρίου μεθέξει, τοῦ θείου νῦν Χριστὲ, σοῦ οἱ ὑπηρέται, ἐκ Σιὼν ελαιῶνος, μέγα πρὸς ὄρος συνανῆλθον, ὑμνοῦντές σε φιλάνθρωπε.

Ὁρᾶτε ἔφης, φίλοι μὴ θροεῖσθε νῦν γὰρ ἤγγικεν ὥρα, ληφθῆναί με κτανθῆναι χερσιν ανομων πάντες δὲ σκορπισθήσεσθε, ἐμὲ λιπόντες· οὗ, συνάζω, κηρύξαι με φιλάνθρωπε.

Καταβασια. Πρὸς σὲ ὀρθρίζω.

Κοντάκιον. Ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου καὶ ἔλεγεν Εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεος μου.

Ὁ Οἶκος.

Τὸν ἴδιον Ἄρνα, ἡ ἀμνὰς θεωροῦσα πρὸς σφαγὴν ἑλκόμενον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἠκολούθει Μαρία, τρυχομένη μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα· Ποῦ πορεύει τέκνον; τίνος χάριν τὸν ταχὺν, δρόμον τελεῖς; μὴ ἕτερος γάμος πάλιν ἐστὶν ἐν Κανᾷ, κἀκεῖ νῦν σπεύδεις, ἵν' ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; συνέλθω σοι Τέκνον, ἢ μείνω σοι μᾶλλον; δός μοι λόγον Λόγε, μὴ σιγῶν παρέλθῃς με, ὁ ἀγνὴν τηρήσας με· σὺ γὰρ ὑπάρχεις ὁ Υἱὸς καὶ Θεός μου.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Παρασκευῇ, τὰ ἅγια καὶ σωτήρια καὶ φρικτὰ Πάθη τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιτελοῦμεν· τοὺς ἐμπτυσμοὺς, τὰ ῥαπίσματα, τὸ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαῖναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων τὸν σταυρὸν, καὶ τὸν θάνατον, ἃ δι' ἡμᾶς ἑκὼν κατεδέξατο· ἔτι δὲ καὶ τὴν τοῦ εὐγνώμονος Ληστοῦ, τοῦ συσταυρωθέντος αὐτῷ, σωτήριον ἐν τῷ σταυρῷ ὁμολογίαν.

Στίχοι εἰς τὴν Σταύρωσιν.

Ζῶν εἶ Θεὸς σὺ, καὶ νεκρωθεὶς ἐν ξύλῳ,
Ὦ νεκρὲ γυμνὲ, καὶ Θεοῦ ζῶντος Λόγε.
Ἕτεροι εἰς τὸν εὐγνώμονα λῃστήν.
Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας,
Βαλὼν ὁ Λῃστὴς κλεῖδα τὸ, Μνήσθητί μου.

Κατὰ τὸ ἑσπέρας τῆς σήμερον, ἥτις ἦν τότε ἡ πρὸ τῶν Ἀζύμων ἡμέρα, τουτέστιν ἡ τοῦ νομικοῦ Πάσχα παραμονὴ, Μαρτίου 22, ἡμέρα Πέμπτη τῆς ἑβδομάδος, συνεδείπνησεν ἐν τῇ πόλει ὁ Ἰησοῦς μετὰ τῶν δώδεκα. Εὐλόγησε τὸν ἄρτον καὶ τὸν οἶνον, καὶ παρέδωκε τὸ Μυστήριον τῆς θείας Εὐχαριστίας. Ἔνιψε τοὺς πόδας τῶν Μαθητῶν, εἰς ὑπόδειγμα ταπεινώσεως. Εἶπε παῤῥησίᾳ, ὅτι εἷς ἐξ αὐτῶν ἐμελέτα τὴν κατ' αὐτοῦ προδοσίαν· καὶ ἔδειξε τὸν προδότην, δοὺς εἰς τὸν Ἰούδαν ψωμίου κομμάτιον, βεβαμμένον εἰς τοῦ τρυβλίου (πιάτου) τὸν ζωμόν. Ἐξελθόντος ἐκείνου εὐθὺς, ἐδίδαξε τοὺς Μαθητὰς τὰ ὑπερφυῆ καὶ τελευταῖα μαθήματα ὅσα ἐμπεριέχονται εἰς τὸ Α'. Εὐαγγέλιον τῶν ἁγίων Παθῶν, Σελ. 247. Ἐξέρχεται μετὰ ταῦτα ὁ Θεάνθρωπος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ ἐκεῖ ἄρχεται λυπεῖσθαι καὶ ἀδημονεῖν. Ἀναχωρεῖ κατ' ἰδίαν, καὶ κλίνας τὰ γόνατα προσεύχεται ἐκτενῶς·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἐκ τῆς πολλῆς ἀγωνίας γίνεται ὁ ἱδρὼς αὐτοῦ, ὡς αἵματος πηκτοῦ κόμβοι, πίπτοντες εἰς τὴν γῆν. Μόλις πληροῖ τὴν ἐναγώνιον ἐκείνην προσευχὴν, καὶ ἰδοὺ, φθάνει καὶ ὁ Ἰούδας μετὰ στρατιωτῶν ἐνόπλων καὶ ὄχλου πολλοῦ, καὶ χαιρετήσας, καὶ φιλήσας δολίως τον Διδάσκαλον παραδίδει αὐτόν.

Συλλαμβάνεται λοιπὸν ὁ Ἰησοῦς, καὶ φέρεται δέσμιος πρὸς τοὺς Ἀρχιερεῖς Ἄνναν καὶ Καϊάφαν. Οἱ Μαθηταὶ σκορπίζονται, καὶ ὁ θερμότερος τῶν ἄλλων Πέτρος, ἀκολουθήσας αὐτὸν ἕως εἰς τὴν Ἀρχιερατικὴν αὐλὴν, ἀρνεῖται καὶ αὐτὸς τελευταῖον, ὅτι ἐστὶν αὐτοῦ Μαθητής. Ὁ δὲ θεῖος Διδάσκαλος παριστάνεται ἔμπροσθεν τοῦ παρανόμου συνεδρίου, ἐξετάζεται περὶ τῶν Μαθητῶν καὶ τῆς διδαχῆς αὐτοῦ, ἐξορκίζεται εἰς τὸν Θεὸν ἵνα εἴπῃ, ἐὰν αὐτὸς ὑπάρχῃ τῷ ὄντι ὁ Χριστός. καὶ εἰπὼν τὴν ἀλήθειαν, κρίνεται θανάτου ἔνοχος, τάχα ὡς βλασφημήσας. Ἐρεξῆς ἐμπτύεται εἰς τὸ πρόσωπον, ῥαπίζεται, γρονθοκοπεῖται, ἐμπαίζεται παντιοτρόπως δι' ὅλης τῆς νυκτὸς ἕως τῆς πρωΐας.

Τῇ ὑπερφυεῖ καὶ περὶ ἡμᾶς πανπείρῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἶτα ἄρχεται ὁ β'. χορὸς ψάλ τὴν ἡ. Ὠδήν. Ὁ Εἱρμός.

» Στήλην κακίας ἀντιθέου, Παῖδες θεῖοι παρεδειγμάτισαν'
» κατὰ Χριστοῦ δὲ φρυαττόμενον ἄνομον συνέδριον, βουλεύε-
» ται κενὰ, κτεῖναι μελετᾷ, τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν
» πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας

Ἀπὸ βλεφάρων Μαθηταὶ, νῦν ὕπνον ἔφης Χριστὲ τινάξατε· ἐν προσευχῇ δὲ γρηγορεῖτε, πειρασμῷ μήπως ὀλισθε, καὶ μάλιστα Σίμων· τῷ κραταιῷ γὰρ μείζων πεῖρα· γνῶθί με Πέτρε, ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων, οὗ ποτε προήσομαι Δέσποτα· σὺν σοὶ θανοῦμαι ὡς εὐγνώμων, κἂν οἱ πάντες ἀρνήσωνται, ἐβόησε Πέτρος· σὰρξ οὐδὲ αἷμα, ὁ Πατήρ σου ἀπεκάλυψέ μοί σε, ὃν πᾶσα κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας θεϊκῆς, καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας· ἄβυσσον δέ μου τῶν κριμάτων, οὐ κατέλαβες ἄνθρωπε, ὁ Κύριος ἔφη. Σὰρξ οὖν ὑπάρχων, μὴ καυχῶ· ἀρνήσῃ τρίτον γάρ με, ὃν πᾶσα κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπαγορεύεις, Σίμων Πέτρε, ὅτερ πείσῃ τάχος ὡς εἴρηται, καὶ σοὶ παιδίσκη, οἷα θᾶττον προσελθοῦσα πτοήσει σε, ὁ Κύριος ἔφη· πικρῶς δακρύσας, ἔξεις ὅμως εὐίλατόν με, ὃν πᾶσα κτίσις, εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καὶ ἡ Καταβασία. Στήλην κακίας ἀντιβέλου. Σελ 275.

Ἡ ἐκφώνησις ἐκ τοῦ Βήματος Τὴν Θεοτόκον καὶ Μητέρα.

Ὠδὴ Θ' Ὁ Εἱρμός.

» Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρί-
» τως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν
» ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. (Δίς.)

Ὁλεθρίους σπείρα θεοστυγῶν, πυκνρευομένων, θεοκτονων συναγωγὴ, ἐπέστη Χριστε σοι, καὶ ὡς ἄδικον εἵλκε, τὸν κτίστην τῶν ἁπάντων· ὃν μεγαλύνομε.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς, φωνὰς προφητῶν τε μελετῶντες διακενῆς, ὡς πρόβατον εἵλκον, σὲ τὸν πάντων Δεσπότην, ἀδίκως σφαγιάσαι· ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν, σὺν τοῖς Γραμματεῦσιν, ἀναιρεῖσθαι οἱ Ἱερεῖς, παρεσχον, πληγέντες, αὐτοφυόνῳ κακίᾳ, τὸν φύσει Ζωοδότην, ὃν μεγαλύνομεν.

Ἐκύκλωσαν κύνες ὡς πολλοὶ, ἐκρότησαν, Ἄναξ, σιαγόνα σὺν ῥαπισμῷ· ἡρωτων σε, σοῦ δὲ, ψευδῆ κατεμαρτύρουν, καὶ πάντα ὑπομείνας, ἅπαντας ἔσωσας.

Ἡ Καταβασια. Τὴν τιμιωτεραν τῶν Χερουβὶμ.

Ἐξαποστειλάριον Ἦχος γ'.

Τὸν Δεσπότην αὐθημερον, τοῦ Παραδείσου ἠξίωσας Κύριε· κἀμὲ τῷ ξύλῳ τοῦ Σταυροῦ, φώτισον καὶ σῶσον με. Ἐκ γ'.

ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΝΑΤΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ιθ'. 25—37.

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνὴ, Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λεγει τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μητρὶ αὐτοῦ Γύναι, ἴδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ Γραφή, λέγει· Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ Σαββάτου), ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη· ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ Γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

Καὶ εὐθὺς ὁ ἀ. χορὸς τοὺς αἴνους εἰς δ'. Ἦχος γ'.

Δύο καὶ πονηρὰ ἐποίησεν, ὁ πρωτόπλαστος υἱός μου Ἰσραήλ· ἐμὲ ἐγκατέλιπε, πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξεν ἑαυτῷ φρέαρ συντετριμμένον· ἐμὲ ἐπὶ ξύλου ἐσταύρωτε, τὸν δὲ Βαραββᾶν ᾐτήσατο καὶ ἀπέλυσεν· ἐξέστη ὁ Οὐρανὸς ἐπὶ τούτῳ, καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκοψε· σὺ δὲ Ἰσραὴλ οὐκ ἐνετράπης, ἀλλὰ θανάτῳ με παρέδωκας. Ἄφες αὐτοῖς, Πάτερ ἅγιε, οὐ γὰρ οἴδασι τί ἐποίησαν.

Ἕκαστον μέλος τῆς ἁγίας σου σαρκός, ἀτιμίαν δι' ἡμᾶς ὑπέμεινε· τὰς ἀκάνθας ἡ κεφαλή· ἡ ὄψις τὰ ἐμπτύσματα· αἱ σιαγόνες τὰ ῥαπίσματα· τὸ στόμα τὴν ἐν ὄξει κερασθεῖσαν χολὴν τῇ γεύσει· τὰ ὦτα τὰς δυσσεβεῖς βλασφημίας· ὁ νῶτος τὴν φραγγέλωσιν, καὶ ἡ χεὶρ τὸν κάλαμον· αἱ τοῦ ὅλου σώματος ἐκστάσεις ἐν τῷ σταυρῷ· τὰ ἄρθρα τοὺς ἥλους· καὶ ἡ πλευρὰ τὴν λόγχην· ὁ παθὼν ὑπὲρ ὑμῶν, καὶ παθὼν ἐλευθερώσας ἡμᾶς· ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ, καὶ ἀνυψώσας ἡμᾶς, παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σταυρωθέντος σου Χριστὲ, πᾶσα ἡ Κτίσις βλέπουσα ἔτρεμε. τὰ θεμέλια τῆς γῆς, διεδονήθησαν φόβῳ τοῦ κράτους σου· σοῦ γὰρ ὑψωθέντος σήμερον, γένος Ἑβραίων ἀπώλετο· τοῦ Ναοῦ τὸ καταπέτασμα διερράγη διχῶς· τὰ μνημεῖα ἠνεῴχθησαν, καὶ οἱ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν. Ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα, ἔφριξε· παρεστῶσα δὲ ἡ Μήτηρ σου ἐβόα θρηνῳδοῦσα μητρικῶς· Πῶς μὴ θρηνήσω, καὶ τὰ σπλάγχνα μου τύψω, ὁρῶσάσε γυμνὸν, ὡς κατάκριτον ἐν ξύλῳ κρεμάμενον; Ὁ σταυρωθεὶς καὶ ταφεὶς, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Δόξα, Ἦχος πλ. β'.

Ἐξέδυσάν με τὰ ἱμάτιά μου, καὶ ἐνέδυσάν με χλαμύδα κοκκίνην· ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου στέφανον ἐξ ἀκανθῶν, καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα, ἔδωκαν κάλαμον, ἵνα συντρίψω αὐτοὺς, ὡς σκεύη κεραμέως.

Καὶ νῦν, Ἦχος αὐτός.

Τὸν νῶτον μου ἔδωκα εἰς μαστίγωσιν, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπεστράφη ἀπὸ ἐμπτυσμάτων· βήματι Πιλάτου παρέστην, καὶ σταυρὸν ὑπέμεινα, διὰ τὴν τοῦ κόσμου σωτηρίαν.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΕΚΑΤΟΝ.

Ἐκ τοῦ κατὰ Μάρκον. ιε'. 43—47

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Ὁ δὲ Πιλάτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε· καὶ προσκαλεσάμενος τὸν Κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανε. Καὶ γνοὺς ἀπὸ τοῦ Κεντυρίωνος, ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ. Καὶ ἀγοράσας σινδόνα, καὶ καθελὼν αὐτὸν, ἐνείλησε τῇ σινδόνι, καὶ κατέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου. Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

Εἶτα· Σοὶ δόξα πρέπει· τὸ, Δόξα σοι τὸ δείξαντι τὸ φῶς. Ὁ Ἱερεὺς τὴν Συναπτὴν καὶ τὴν Ἐκφώνησιν, Ὅτι Θεὸς ἐλέους.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΑΓΓΕΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

Ἐκ τοῦ κατὰ Ἰωάννην. ΙΘ'. 38—42.

Τῷ καιρῷ ἐκείνῳ. ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων), ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος· ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. Ἦλθε δὲ καὶ Νικόδημος (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον), φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων. καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. Ἦν δὲ ἐν τῷ τόπῳ, ὅπου ἐσταυρώθη, κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη. Ἐκεῖ οὖν διὰ τὴν Παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Εἶτα ἄρχεται ὁ β'. χορὸς ψάλ. τὸ ἀπόστ. Ἰδιόμελα. Ἦχος ά.

Πᾶσα ἡ Κτίσις, ἠλλιοῦτο φοβῳ, θεωροῦσά σε, ἐν σταυρῷ κρεμάμενον Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον, τῷ τὰ πάντα κτίσαντι. Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Σοίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς· κτλ. Ἦχος β'.

Λαὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων, θανάτῳ κατεδίκασε; Μέγα θαῦμα! ὅτι ὁ Κτίστης τοῦ Κοσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν Ἅδῃ δεσμώτας ἐλευθερώσῃ, κράζοντας· Μακρόθυμε Κύριε δόξα τοι.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. κτλ.

Σήμερον σὲ θεωροῦσα, ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Δόγε ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς· καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο· διὸ καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραζε γοερῶς· Οἴμοι θεῖον τέκνον! οἴμοι τὸ φῶς τοῦ Κόσμου! Τί ἔδυς ἐξ ὀφθαλμῶν μου, ὁ Ἀμνὸς τοῦ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων, τρόμῳ συνείχοντο λέγουσαι· Ἀκατάληπτε Κύριε δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο. κτλ

Ἐπὶ ξύλου βλέπουσα κρεμάμενον Χριστὲ, σὲ τὸν Πάντων Κτίστην καὶ Θεόν, ἡ σὲ ἀσπόρως τεκοῦσα ἔβλα πικρῶς· Τίέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾶν σε, ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω καγὼ, σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Δοξα. Ἦχος πλ. δ'.

Κύριε ἀναβαίνοντός σου ἐν τῷ Σταυρῷ, φόβος καὶ τρόμος ἐπέπεσε τῇ Κτίσει καὶ τὴν γῆν μὲν ἐκώλυες, καταπιεῖν τοὺς σταυροῦντάς σε· τῷ δὲ Ἅδῃ ἐπέτρεπες, ἀναπέμπειν τοὺς δεσμίους, εἰς ἀναγέννησιν βροτῶν. Κριτὰ ζώντων καὶ νεκρῶν, ζωὴν ἦλθες παρασχεῖν, καὶ οὐ θάνατον· Φιλάνθρωπε δόξα σοι.

Καὶ νῦν. Ἦχος πλ. δ'.

Ἤδη βάπτεται κάλαμος ἀποφάσεως, παρὰ κριτῶν ἀδίκων καὶ Ἰησοῦς δικάζεται, καὶ κατακρίνεται Σταυρῷ· καὶ πάσχει ἡ Κτίσις, ἐν Σταυρῷ καθορῶσα τὸν Κύριον. Ἀλλ' ὁ φύσει σώματος δι' ἐμὲ πάσχων, ἀγαθὲ Κύριε δόξα σοι.

ΕΥΑΓΓΕΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

Ἐκ τοῦ κατὰ Ματθαῖον. κζ'. 62—66

Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν Παρασκευὴν, συνήχθησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλάτον, λέγοντες· Κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν. Μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. Κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας· μήποτε ἐλθόντες οἱ Μαθηταὶ αὐτοῦ νυκτὸς, κλέψωσιν αὐτὸν, καὶ εἴπωσι τῷ λαῷ· Ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. Ἔφη δὲ αὐτοῖς ὁ Πιλάτος· Ἔχετε κουστωδίαν· ὑπάγετε, ἀσφαλίσασθε ὡς οἴδατε. Οἱ δὲ, πορευθέντες, ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον, μετὰ τῆς κουστωδίας.

Μετὰ δὲ τοῦτο. Εἰς πολλὰ ἔτη· ἡ Δόξα σοι Κύριε Εἶτα Ἀγαθὸν τὸ ἐξομολογ Τρισάγιον. Ὅτι σοῦ ἐστιν Τὸ Ἀπολυτίκ. Ἐξηγόρασας ἡμᾶς. (ἐκ γ'.) Σελ 268. Εἶτα Ἐλέησον ἡμᾶς ὁ Θεὸς, ὅτι ἐλεήμων Σοφία. Ὁ ὢν Εὐλογητός. Ὁ Ἀρχιερεὺς, Στερεώσαι Κύριος ὁ Θεός· ὁ Ἱερεὺς, Δόξα σοι Χριστέ. Τὸν Δεσπότην· καὶ ἀπόλυσις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ

ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΩΡΩΝ.

ΠΟΙΗΜΑ ΚΥΡΙΛΛΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

ΩΡΑ ΠΡΩΤΗ.

Περὶ τὴν 1ην ὥραν τῆς ἡμέρας, ἢ 9ην Π. Μ. Σημαίνει. Εὐλογητοῦ γενομένου, Δόξα σοι ὁ Θεός· Βασιλεῦ Οὐράνιε. Ἅγιος ὁ Θεός, Παναγία Τριάς· Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι· Κύριε ἐλέησον ιβ'. Δόξα, καὶ νῦν. Δεῦτε προσκυνήσ. ἐκ γ'. τοὺς τρεῖς Ψαλμούς, τὸν Ε'. τὸν Β'. καὶ τὸν ΚΑ'. Δόξα, καὶ νῦν Ἀλληλούϊα ἐκ γ'. Κύριε ἐλέησον γ'. Δόξα, Σταυρωθέντος σου Χριστέ. Καὶ νῦν Θεοτοκ. Τί σε καλέσωμεν· Ὅρα εἰς τὸ Τριῴδιον.

Εἶτα ἄρχεται ὁ ἀ. χορὸς ψάλ. τὰ ἑξῆς Ἰδιόμελα Ἦχος πλ. δ'.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα, εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας, ὁ Ἥλιος κρύπτει, Δεσπότην ὁρῶν σταυρούμενον.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά ;

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἦλθες Χριστὲ Βασιλεῦ, καὶ ὡς ἀμνὸς ἄκακος, προσηλώθης τῷ σταυρῷ, ὑπὸ τῶν παρανόμων ἀνδρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Τοῖς συλλαβοῦσί σε παρανόμοις, ἀνεχόμενος οὕτως ἐβόας Κύριε· Εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς Μαθητάς μου, ἠδυνάμην πλείους, ἢ δώδεκα λεγεῶνας, παραστῆσαι Ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν Προφητῶν μου, ἄδηλα καὶ κρύφια. Κύριε δόξα σοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα ἡ Προφητεία, Προφ. Ζαχαρίου. Κεφ. ΙΑ'. 10—13.

Καὶ εὐθὺς ὁ Ἀπόστολος.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

Κεφ ς'. 14—18

Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰμὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· δι' οὗ ἐμοὶ Κόσμος ἐσταύρωται, κἀγὼ τῷ Κόσμῳ. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς, καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν.

Ἐκ τοῦ κατὰ Ματθαῖον. κζ. 1—56

Τῷ καιρῷ ἐκείνῳ, πρωΐας γενομένης, συμβούλιον ἔλαβον πάντες οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. Καὶ δήσαντες αὐτόν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ Ἡγεμόνι. Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτόν, ὅτι κατεκρίθη, μεταμεληθείς, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Πρεσβυτέροις, λέγων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον. Τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησε, καὶ ἀπελθὼν, ἀπήγξατο. Οἱ δὲ Ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια, εἶπον· Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εἰς τὸν Κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ Κεραμέως, εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος Ἀγρὸς αἵματος ἕως τῆς σήμερον. (Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ Προφήτου λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ Κεραμέως, καθὰ συνέταξέ μοι Κύριος). Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ Ἡγεμόνος. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν Ἀρχιερέων καὶ τῶν Πρεσβυτέρων. οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν Ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν εἰώθει ὁ Ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδέν σοι καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν. Ἀποκριθεὶς δὲ ὁ Ἡγεμὼν, εἶπεν αὐτοῖς. Τίνα θέλετε ἀπὸ τῶν δύω ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλάτος. Τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγόμενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ Ἡγεμὼν ἔφη. Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λέγοντες. Σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ. Τοτε οἱ στρατιῶται τοῦ Ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ Πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύσαντες αὐτὸν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτὸν, λέγοντες· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ· καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες εἰς τόπον λε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γόμενον Γολγοθᾶ, ὅς ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Προφήτου· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον ». Καὶ καθήμενοι, ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην· « Οὗτος ἐστιν Ἰησοῦς ὁ Βασιλεὺς τῶν Ἰουδαίων ». Τοτε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. Οἱ δὲ παραπορευόμεναι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ Υἱος εἶ τοῦ Θεοῦ, καταβηθι ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ Ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ τῶν Γραμματέων καὶ Πρεσβυτέρων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ Βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πεποιθεν ἐπὶ τὸν Θεόν· ῥυσάσθω νῦν αὐτόν, εἰ θελει αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ εἰμι Υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυρωθεντες αὐτῷ ὠνείδιζον αὐτῷ. Ἀπὸ δὲ ἕκτης ὥρας σκοτος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης. Περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· « Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχθανί », τουτέστι, « Θεέ μου, Θεε μου, ἵνα τί με ἐγκατέλιπες; Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες, ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες ἰδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη, καὶ αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἠνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων Ἁγίων ἠγέρθη. καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν Πόλιν καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ Ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱος ἦν οὗτος. Ἦσαν δὲ ἐκεῖ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ γυναῖκες πολλαί, ἀπὸ μακρόθεν θεωροῦσαι· αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν Υἱῶν Ζεβεδαίου.

Καὶ εὐθὺς τὰ διαβήματά μου· Τρισάγιον· Παναγία Τριάς. Πάτερ ἡμῶν· Ὅτι σοῦ ἐστι. τὸ Κοντάκ. Τὸν δι' ἡμᾶς σταυρωθέντα· τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ Ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Εἶτα τὴν εὐχήν· Χριστὲ τὸ φῶς τὸ ἀληθινόν.

ΩΡΑ ΤΡΙΤΗ.

Δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς τρεῖς ψαλμούς· τὸν ΛΔ'· τὸν ΡΙΓ'. καὶ τὸν Ν'. Εἶτα Δόξα καὶ νῦν. Ἀλληλούϊα γ'. Κύριε ἐλέησον γ'. Δόξα. τὸ Τροπάρ. Κύριε κατεκρινάν σε. Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. κτλ. Ὅρα εἰς τὸ Τριῴδιον.

Εἶτα ἄρχεται. ὁ β'. χορὸς ψάλ. τὸ παρὸν Ἰδιόμ. ἦχος πλ. δ'.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων, ὁ φίλος σου καὶ ὁ πλησίον Πέτρος, ἠρνήσατό σε Κύριε, καὶ ὀδυρόμενος οὕτως ἔβοα· Τῶν δακρύων μου μὴ παρασιωπήσῃς· εἶπα γὰρ φυλάξαι τὴν πίστιν Οἰκτίρμον, καὶ οὐκ ἐφύλαξα. Καὶ ἡμῶν τὴν μετάνοιαν, οὕτω δέξαι, καὶ ἐλέησον ἡμᾶς.

Στίχ. Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε· σύνες τῆς κραυγῆς μου.

Πρὸ τοῦ τιμίου σου Σταυροῦ, στρατιωτῶν ἐμπαιζόντων σε Κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο· ἀνεδύσω γὰρ στέφανον ὕβρεως, ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι, καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας, ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα· τοιαύτη γὰρ οἰκονομία, ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστὲ, τὸ μέγα ἔλεος, δόξα σοι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. ά.

Ἑλκόμενος ἐπὶ σταυροῦ, οὕτως ἔβόας Κύριε· Διὰ ποῖον ἔργον, θέλετέ με σταυρῶσαι Ἰουδαῖοι; ὅτι τοὺς παραλύτους ὑμῶν συνέσφιγξα; ὅτι τοὺς νεκροὺς ὡς ἐξ ὕπνου ἀνέστησα; Αἱμόῤῥουν ἰασάμην, Χαναναίαν ἠλέησα· διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι Ἰουδαῖοι; ἀλλ' ὄψεσθε εἰς ὃν νῦν ἐκκεντᾶτε, Χριστὸν παράνομοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα ἡ Προφητεία. τοῦ Προφ. Ἡσαΐου· κεφ. Ν'. 4—11.

Καὶ εὐθὺς ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ἐ. 6—10.

Ἀδελφοί, ἔτι Χριστός, ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι, ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες, σωθησώμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Ἐκ τοῦ κατὰ Μάρκον. ιέ. 16—41.

Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς, ὅ ἐστι Πραιτώριον· καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. Καὶ ἐνδύουσιν αὐτὸν πορφύραν, καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον. Καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, καὶ λέγειν· Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ, καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα, προσεκύνουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια· καὶ ἐξάγουσιν αὐτόν, ἵνα σταυρώσωσιν αὐτόν. Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, (ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου), ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. Καὶ φέρουσιν αὐτὸν ἐπὶ Γολγοθᾶ τόπον· ὅ ἐστι μεθερμηνευόμενον, Κρανίου τόπος. Καὶ ἐδίδουν αὐτῷ πιεῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε. Καὶ σταυρώσαντες αὐτόν, διεμέριζον τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς τί ἄρῃ. Ἦν δὲ ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη· Ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς· ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. Καὶ ἐπληρώθη ἡ Γραφὴ, ἡ λέγουσα· « Καὶ μετὰ ἀνόμων ἐλογίσθη. » Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγον-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες· Οὐά, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτὸν, καὶ κατάβα ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ Ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν Γραμματέων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ Χριστὸς ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ. Καὶ οἱ συνεσταυρωμένοι αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης. Καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων. « Ἐλωΐ, Ἐλωΐ, λαμὰ σαβαχθανί ; » ὅ ἐστι μεθερμηνευόμενον· « Ὁ Θεός μου, Ὁ Θεός μου, εἰς τί με ἐγκατέλιπες ; » Καί τινες τῶν παρεστηκότων, ἀκούσαντες, ἔλεγον· Ἰδοὺ, Ἠλίαν φωνεῖ. Δραμὼν δὲ εἷς, καὶ γεμίσας σπόγγον ὄξους, περιθείς τε καλάμῳ, ἐπότιζεν αὐτὸν, λέγων· Ἄφετε· ἴδωμεν εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην, ἐξέπνευσε. Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω. Ἰδὼν δὲ ὁ Κεντυρίων, ὁ παρεστηκὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω κράξας ἐξέπνευσεν, εἶπεν· Ἀληθῶς ὁ ἄνθρωπος οὗτος Υἱὸς ἦν Θεοῦ. Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι· ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ, καὶ Ἰωσῆ μήτηρ, καὶ Σαλώμη· αἳ, καὶ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν αὐτῷ. καὶ διηκόνουν αὐτῷ· καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα.

Καὶ εὐθὺς, Κύριος ὁ Θεὸς εὐλογητός. Τρισάγ. κτλ. καὶ τὸ Κοντάκ. Τὸν δι' ἡμᾶς· Τὸ Κύριε ἐλέησον, μ'. Ὁ ἐν παντὶ καιρῷ. κτλ. καὶ μετὰ τὸ ὁ Θεὸς οἰκτειρήσ. τὴν εὐχήν. Δέσποτα Θεέ.

ΩΡΑ ΕΚΤΗ.

Δεῦτε προσκυνήσωμεν (γ'.) καὶ τοὺς τρεῖς ψαλμοὺς τὸν ΝΓ'. τὸν ΡΔΘ'. καὶ τὸν 91. κτλ. Δόξα Σωτηρίαν. Καὶ νῦν. Ὅτι οὐκ ἔχομεν. Εἶτα ἄρχεται ὁ β'. χορὸς τὸ παρὸν Ἰδιόμελ. ἦχος πλ δ'.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις· Λαός μου, τί ἐποίησά σοι, ἢ τί σοι παρηνώχλησα ; Τοὺς τυφλούς σου ἐφώτισα· τοὺς λεπρούς σου ἐκαθάρισα· ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην. Λα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ός μου, τί ἐποίησά σοι; καὶ τί μοι ἀνταπέδωκας; ἀντὶ τοῦ μάννα, χολήν· ἀντὶ τοῦ ὕδατος, ὄξος· ἀντὶ τοῦ ἀγαπᾷν με, σταυρῷ με προσηλώσατε· Οὐκέτι στέγω λοιπόν· καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρὶ καὶ Πνεύματι, κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ, Ἰουδαῖοι καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· Ἴδε ναός, ὃν ὑμεῖς ἐλύσατε· ἴδε ἀμνός, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ' ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη. Μὴ πλανᾶσθε Ἰουδαῖοι· αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς καὶ ἡ εἰρήνη τοῦ Κόσμου.

Δόξα, Καὶ νῦν. Ἦχος πλ. ά.

Δεῦτε χριστοφόροι λαοὶ κατίδωμεν, τί συνεβουλεύσατο Ἰούδας ὁ προδότης, σὺν ἱερεῦσιν ἀνόμοις, κατὰ τοῦ Σωτῆρος ἡμῶν. σήμερον ἔνοχον θανάτου, τὸν ἀθάνατον λόγον πεποίηκαν, καὶ Πιλάτῳ προδώσαντες, ἐν τόπῳ Κρανίου ἐσταύρωσαν. Καὶ ταῦτα πάσχων, ἔβοα ὁ Σωτὴρ ἡμῶν λέγων· ἄφες αὐτοῖς Πάτερ τὴν ἁμαρτίαι ταύτην, ὅπως γνῶσι τὰ ἔθνη, τὴν ἐκ νεκρῶν μου Ἀνάστασιν.

Εἶτα ἡ Προφητεία, Ἡσαΐου. Κεφ. νδ'. 13-15. νγ'. 1-12.

Καὶ εὐθὺς ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β'. 11.—18.

Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός. ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου, διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Εἶτα τὸ Η'. Εὐαγγέλ. Τῷ καιρῷ ἐκείνῳ, ἤγοντο. σελὶς, 272.

Καὶ εὐθὺς, Ταχὺ προκαταλαβέτωσ. Τρισάγ. κτλ. τὸ Κοντάκ. Τὸν δι' ἡμᾶς. τὸ Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ· κτλ. Ὁ Ἱερεὺς, ὁ Θεὸς οἰκτειρήσαι. καὶ τὴν εὐχήν. Θεὲ καὶ Κύριε.

ΩΡΑ ΕΝΝΑΤΗ.

Δεῦτε προσκυνήσωμεν, ἐκ γ'. τοὺς τρεῖς Ψαλμούς· τὸν ΞΗ', τὸν ΞΘ', καὶ τὸν ΠΕ'. Δόξα καὶ νῦν Ἀλληλουϊα γ'. κτλ. Δόξα, τὸ Τροπάρ. Βλέπων ὁ Λῃστής· Καὶ νῦν. Ὁ δι' ἡμᾶς γεννηθείς.

Εἶτα ἄρχεται ὁ Ε'. χορὸς ψάλ. τὸ ἑπόμενον Ἰδιόμελον.

Ἦχος βαρύς.

Θάμβος ἦν κατηδεῖν, τὸν Οὐρανοῦ καὶ γῆς Ποιητὴν, ἐπὶ σταυροῦ κρεμάμενον· ἥλιον σκοτισθέντα, τὴν ἡμέραν δὲ πάλιν εἰς νύκτα μετελθοῦσαν, καὶ τὴν γῆν ἐκ τάφων ἀναπέμπουσαν, σώματα νεκρῶν· μεθ' ὧν προσκυνοῦμέν σε· σῶσον ἡμᾶς.

Στίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς.

Ἦχος β'.

Ὅτε σε σταυρῷ προσήλωσαν παράνομοι, τὸν Κύριον τῆς δόξης, ἐβόας πρὸς αὐτούς· Τί ὑμᾶς ἐλύπησα; ἢ ἐν τίνι παρώργησα; πρὸ ἐμοῦ, τίς ὑμᾶς ἐρύσατο ἐκ θλίψεως; καὶ νῦν, τί μοι ἀνταποδίδοτε; πονηρὰ ἀντὶ ἀγαθῶν· ἀντὶ στύλου πυρὸς, σταυρῷ με προσηλώσατε· ἀντὶ νεφέλης, τάφον μοι ὠρύξατε· ἀντὶ τοῦ μάννα χολήν μοι προσηνέγκατε· ἀντὶ τοῦ ὕδατος, ὄξος με ἐποτίσατε. Λοιπὸν καλῶ τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

« Τὸ παρὸν ἀναγινώσκεται πρῶτον εὐλαβῶς καὶ μεγαλοφώνως παρὰ τοῦ Ἀναγνώστου ἐν τῷ μέσῳ τοῦ Ναοῦ· εἶτα ψάλλεται ὑπ' ἀμφοτέρων τῶν χορῶν κατὰ στίχον. »

Σήμερον κρεμᾶται ἐπὶ ξύλου, ὁ ἐν ὕδασι τὴν γῆν κρεμά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σας. (ἐκ γ'.) Στέφανον ἐξ ἀκανθῶν περιτίθεται, ὁ τῶν Ἀγγέλων Βασιλεύς. Ψευδῆ πορφύραν περιβάλλεται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις. Ῥάπισμα κατεδέξατο, ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ. Ὄξος προσηλώθη, ὁ Νυμφίος τῆς Ἐκκλησίας. Λόγχῃ ἐκεντήθη, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὰ Πάθη Χριστέ. (ἐκ γ'.) Δεῖξον ἡμῖν, καὶ τὴν ἔνδοξόν σου σου Ἀνάστασιν.

Εἶτα ἡ Προφητεία, Ἱερεμίου. ιά. 18-23 ιϐ'. 10-15.

Καὶ εὐθὺς ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Ι'. 19—31.

Ἀδελφοί, ἔχοντες παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν Ἁγίων, ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἀνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος (τοὐτέστι, τῆς σαρκὸς αὐτοῦ), καὶ Ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ (πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος), καὶ κατανοῶμεν ἀλλήλους, εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων, μὴ ἐγκαταλιπόντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν. Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος, ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους. Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας; Οἴδαμεν γὰρ τὸν εἰπόντα· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος. Καὶ πάλιν· Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ. Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

Εἶτα το ἑπόμενον Εὐαγγέλιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ τοῦ κατὰ Ἰωάννην. ΙΘ'. 23—37.

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος), καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται. Ἵνα ἡ Γραφὴ πληρωθῇ ἡ λέγουσα· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. » Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. Εἱστήκεισαν δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα καὶ τὸν Μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ Γραφή, λέγει· Διψῶ. Σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσῴπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι. Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ Σαββάτου), ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη· ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ Γραφὴ πληρωθῇ. Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

Εἶτα· Μὴ δὴ παραδῴς· Τρισάγ. τὸ Κοντάκ. Τὸν δι' ἡμᾶς. Ὁ ἐν παντὶ καιρῷ. Τὴν Τιμιωτέρ. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσ. ἡμᾶς. τὴν εὐχὴν, Δέσποτα Κύριε Ἰησοῦ. Καὶ Ἀπόλυσις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ.

Εἰς τὸν Ἑσπερινόν.

Εὐθὺς μετὰ τὴν ἀπολυτιν τῶν ὡρῶν, ἐκφωνεῖ ὁ Διάκονος Εὐλόγησον Δέσποτα. Ὁ Ἱερεύς. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Ὁ Ἀρχιερεὺς, τὸν Προοιμιακον. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα. ἱστῶμεν Στιχ. ς' καὶ ψάλ. τὰ πέντε Στιχηρὰ Ἰδιόμ. δευτεροῦντες τὸ ά.

Ἦχος ά.

Πᾶσα ἡ Κτίσις, ἠλλιοῦτο φόβῳ, θεωροῦσά σε, ἐν σταυρῷ κρεμάμενον Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον, τῷ τὰ πάντα κτίσαντι. Ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Ἦχος β'

Λαὸς δυσσεβὴς καὶ παρανομος, ἵνα τί μελετᾷ κενά: ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων, θανάτῳ κατεδίκασε; Μέγα θαῦμα! ὅτι ὁ Κτίστης τοῦ Κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν Ἅδῃδεσμώτας ἐλευθερώσῃ, κράζοντας· Μακρόθυμε Κύριε δόξα τοι.

Σήμερον σὲ θεωροῦσα, ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Λόγε ἀναρτώμενον, ὀδυρομένη μητρῴα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς· καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, παρειὰς σὺν θριξὶ καταξαίνουσα, κατετρύχετο· διὸ καὶ τὸ στῆθος τύπτουσα, ἀνέκραζε γοερῶς· Οἴμοι θεῖον τέκνον! οἴμοι τὸ φῶς τοῦ Κόσμου! Τί ἔδυς ἐξ ὀφθαλμῶν μου, ὁ Ἀμνὸς τοῦ Θεοῦ; Ὅθεν αἱ στρατιαὶ τῶν Ἀσωμάτων, τρόμῳ συνείχοντο λέγουσαι· Ἀκατάληπτε Κύριε δόξα σοι.

Ἐπὶ ξύλου βλέπουσα, κρεμάμενον Χριστὲ, σὲ τὸν πάντων Κτίστην καὶ Θεὸν, ἡ σὲ ἀσπόρως τεκοῦσα ἑβόα πικρῶς· Υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾶν σε ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ, σοῦ τὴν ἐκ νεκρῶν, τριήμερον ἐξανάστασιν.

Ἦχος πλ. β'.

Σήμερον ὁ Δεσπότης τῆς κτίσεως, παρίσταται Πιλάτῳ, καὶ σταυρῷ παραδίδοται ὁ κτίστης τῶν ἁπάντων, ὡς ἀμνὸς προσαγόμενος τῇ ἰδίᾳ βουλήσει· τοῖς ἥλοις προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται, καὶ τῷ σπόγγῳ προσψαύεται, ὁ μάννα ἐπομ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βρήσας· τὰς τιγώνας ῥαπίζεται, ὁ Λυτρωτὴς τοῦ Κόσμου, καὶ ὑπὸ τῶν ἰδίων δούλων ἐμπαίζεται, ὁ Πλάστης τῶν ἁπάντων. Ὦ Δεσπότου φιλανθρωπίας! Ὑπὲρ τῶν σταυρούντων παρεκάλει τὸν ἴδιον Πατέρα, λέγων Ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, οὐ γὰρ οἴδασιν οἱ ἄνθρωποι, τί ἀδίκως πράττουσιν.

Δόξα. Ἦχος πλ. δ'.

Ὦ πῶς ἡ παράνομος συναγωγὴ, τὸν Βασιλέα τῆς κτίσεως κατεδίκασε θανάτῳ. μὴ αἰδεσθεῖσα τὰς εὐεργεσίας, ἃς ἀναμιμνήσκων, προσῳφελίζετο λέγων πρὸς αὐτούς. Λαός μου τί ἐποίησα ὑμῖν; οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν; οὐ νεκροὺς ἐξανέστησα μόνῳ τῷ λόγῳ· οὐ πᾶσαν μαλακίαν ἐθεράπευσα καὶ νόσον; τί οὖν μοι ἀνταποδίδοτε; εἰς τί ἀμνημονεῖτέ μου; ἀντὶ τῶν ἰαμάτων πληγάς μοι ἐπιθέντες· ἀντὶ ζωῆς νεκρώσαντες· κρεμῶντες ἐπὶ ξύλου, ὡς κακοῦργον, τὸν εὐεργέτην· ὡς παράνομον, τὸν νομοθέτην· ὡς κατάκριτον, τὸν πάντων Βασιλέα. Μακρόθυμε Κύριε δόξα σοι. Καὶ νῦν. πλ. δ'.

Φοβερὸν καὶ παράδοξον Μυστήριον, σήμερον ἐνεργούμενον καθορᾶται, ὁ ἀναφὴς κρατεῖται· ὁ ἀόριστος ὁρίζεται, ὁ λύων τὸν Ἅιδαν τῆς κατάρας· ὁ ἑτάζων καρδίας καὶ νεφρούς, ἀδίκως ἑτάζεται· εἱρκτῇ κατακλείεται, ὁ τὴν ἄβυσσον κλείσας· Πιλάτῳ παρίσταται, ᾧ τρόμῳ παρίστανται Οὐρανῶν αἱ Δυνάμεις· ῥαπίζεται χειρὶ τοῦ πλάσματος ὁ Πλάστης· ξύλῳ κατακρίνεται, ὁ κρίνων ζῶντας καὶ νεκρούς· τάφῳ κατακλείεται, ὁ καθαιρέτης τοῦ Ἅδου. Ὁ πάντα ῥέων συμπαθῶς, καὶ πάντας σώσας τῇ ἀρᾷ, ἀνεξίκακε Κύριε δόξα σοι.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρὸν, καὶ τὰ τρία Ἀναγνώσμ. Τῆς Ἐξόδου Κεφ. ΑΓ'. 11-23 Τοῦ Ἰὼβ. ΜΒ' 12-17. καὶ τοῦ Ἡσαΐου. ΝΒ'. 13. Ὅρκισε τὸ Τριῴδ Εἶτα ὁ Ἀπόστολ.

Προκείμενον Ἦχος πλ. β'.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. Α' 18-32

Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; Ποῦ γραμματεύς; Πο
συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σο
φίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεο
οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸ
διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐ
πειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζη
τοῦσιν. ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοι
μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰ
ουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν, Θεοῦ δύναμιν καὶ Θεοῦ σο
φίαν. Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ
καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Βλέ
πετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κα
τὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μω
ρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ
καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ
τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐ
ξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅ
πως μὴ καυχήσηται πᾶσα σάρξ, ἐνώπιον αὐτοῦ. Ἐξ αὐτοῦ δὲ
ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ
δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις· ἵνα, καθὼς γέγρα
πται· Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Κἀγὼ δὲ, ἐλθὼ
πρὸς ὑμᾶς, ἀδελφοὶ, ἦλθον, οὐ καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας
καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τι
εἰδέναι τι ἐν ὑμῖν, εἰμὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον

Ἐκ τοῦ κατὰ Ματθαῖον. κζ'. 2—38
Λουκ. κγ'. 39-43 Ματ. κζ'. 39 54
Ἰωάν. ιθ'. 31-37. Ματ. κζ'. 55-61

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἔλαβον πάντες οἱ Ἀρχιερεῖ
καὶ οἱ Πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ, ὥστε θα
νατῶσαι αὐτόν. Καὶ δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ πα
ρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ Ἡγεμόνι. Τότε ἰδὼν Ἰού
δας ὁ παραδιδοὺς αὐτὸν, ὅτι κατεκρίθη, μεταμεληθεὶς, ἀπέστρε
ψε τὰ τριάκοντα ἀργύρια τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Πρεσβυτέ
ροις, λέγων· Ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον. Οἱ δὲ εἶπον· Τ
πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρησε· καὶ ἀπελθὼν, ἀπήγξατο. Οἱ δὲ Ἀρχιερεῖς, λαβόντες τὰ ἀργύρια, εἶπον Οὐκ ἔξεστι βαλεῖν αὐτὰ εις τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι. Συμβούλιον δε λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν τὸν ἀγρὸν τοῦ Κεραμέως, εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος, Ἀγρὸς αἵματος ἕως τῆς σήμερον (Τοτε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ Προφήτου, λέγοντος· Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ· καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ Κεραμέως, καθὰ συνέταξέ μοι Κύριος). Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ Ἡγεμόνος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ Ἡγεμὼν, λέγων· Σὺ εἶ ὁ Βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· Σὺ λέγεις. Καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν Ἀρχιερέων καὶ τῶν Πρεσβυτέρων, οὐδὲν ἀπεκρίνατο. Τότε λέγει αὐτῷ ὁ Πιλάτος· Οὐκ ἀκούεις πόσα σου καταμαρτυροῦσι; Καὶ οὐκ ἀπεκρίθη αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν τὸν Ἡγεμόνα λίαν. Κατὰ δὲ ἑορτὴν, εἰώθει ὁ Ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον ὃν ἤθελον. Εἶχον δὲ τότε δέσμιον ἐπίσημον λεγόμενον Βαραββᾶν. Συνηγμένων οὖν αὐτῶν, εἶπεν αὐτοῖς ὁ Πιλάτος· Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν, ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν; ἤδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν αὐτόν. Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος, ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ, λέγουσα· Μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ πολλὰ γὰρ ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. Οἱ δὲ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι ἔπεισαν τοὺς ὄχλους, ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ Ἰησοῦν ἀπολέσωσιν· Ἀποκριθεὶς δὲ ὁ Ἡγεμὼν, εἶπεν αὐτοῖς· Τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω ὑμῖν; Οἱ δὲ εἶπον, Βαραββᾶν. Λέγει αὐτοῖς ὁ Πιλάτος· τί οὖν ποιήσω Ἰησοῦν, τὸν λεγομενον Χριστόν; Λέγουσιν αὐτῷ πάντες· Σταυρωθήτω. Ὁ δὲ Ἡγεμὼν ἔφη Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσῶς ἔκραζον, λεγοντες· Σταυρωθήτω. Ἰδὼν δὲ ὁ Πιλάτος, ὅτι οὐδὲν ὠφελεῖ, ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ, ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου, λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. Καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς, εἶπε· Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Τότε ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν· τὸν δὲ Ἰησοῦν φραγγελλώσας, παρέδωκεν ἵνα σταυρωθῇ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τότε οἱ στρατιῶται τοῦ Ἡγεμόνος, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ Πραιτώριον, συνήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν. Καὶ ἐκδύσαντες αὐτόν, περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην· καὶ πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ· καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ, ἐνέπαιζον αὐτῷ, λέγοντες· Χαῖρε, ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Καὶ ἐμπτύσαντες εἰς αὐτόν, ἔλαβον τὸν κάλαμον, καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι. Ἐξερχόμενοι δὲ, εὗρον ἄνθρωπον Κυρηναῖον, ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν, ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ. Καὶ ἐλθόντες εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμενος Κρανίου τόπος, ἔδωκαν αὐτῷ πιεῖν ὄξος μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος, οὐκ ἤθελε πιεῖν. Σταυρώσαντες δὲ αὐτόν, διεμερίσαντο τὰ ἱμάτια αὐτοῦ, βάλλοντες κλῆρον· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Προφήτου· « Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. » Καὶ καθήμενοι, ἐτήρουν αὐτὸν ἐκεῖ. Καὶ ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν αὐτοῦ γεγραμμένην « Οὗτός ἐστιν Ἰησοῦς ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Τότε σταυροῦνται σὺν αὐτῷ δύο λῃσταί· εἷς ἐκ δεξιῶν, καὶ εἷς ἐξ εὐωνύμων. Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν, λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ, λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεὸν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε. Καὶ ἔλεγε τῷ Ἰησοῦ· « Μνήσθητί μου, Κύριε ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου. » Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ. Οἱ δὲ παροπορευόμενοι ἐβλασφήμουν αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες· Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ Σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ Ἀρχιερεῖς, ἐμπαίζοντες μετὰ τῶν Γραμματέων καὶ Πρεσβυτέρων, ἔλεγον· Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι· εἰ Βασιλεὺς Ἰσραὴλ ἐστι, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ. Πέποιθεν ἐπὶ τὸν Θεόν· ῥυσά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν· εἶπε γάρ· Ὅτι Θεοῦ εἰμι Υἱός. Τὸ δ' αὐτὸ καὶ οἱ λῃσταί, οἱ συνεσταυρωθέντες αὐτῷ ὠνείδιζον αὐτῷ. Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐννάτης. Περὶ δὲ τὴν ἐννάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων· « Ἠλί, Ἠλί, λαμὰ σαβαχθανί; » τουτέστι, « Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες; » Τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων, ἀκούσαντες, ἔλεγον· Ὅτι Ἠλίαν φωνεῖ οὗτος. Καὶ εὐθέως δραμὼν εἷς ἐξ αὐτῶν, καὶ λαβὼν σπόγγον, πλήσας τε ὄξους, καὶ περιθεὶς καλάμῳ, ἐπότιζεν αὐτόν. Οἱ δὲ λοιποὶ ἔλεγον· Ἄφες, ἴδωμεν, εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. Ὁ δὲ Ἰησοῦς, πάλιν κράξας φωνῇ μεγάλῃ, ἀφῆκε τὸ πνεῦμα. Καὶ ἰδοὺ, τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ ἄνωθεν ἕως κάτω· καὶ ἡ γῆ ἐσείσθη· καὶ αἱ πέτραι ἐσχίσθησαν· καὶ τὰ μνημεῖα ἀνεῴχθησαν· καὶ πολλὰ σώματα τῶν κεκοιμημένων Ἁγίων ἠγέρθη· καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν Πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς. Ὁ δὲ Ἑκατόνταρχος, καὶ οἱ μετ' αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα, λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος. Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ Σαββάτου), ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη· ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. Ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ Γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. Καὶ πάλιν ἑτέρα Γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν. Ἦσαν δὲ ἐκεῖ καὶ γυναῖκες πολλαὶ, ἀπὸ μακρόθεν θεωροῦσαι· αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ· ἐν αἷς ἦν Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν Υἱῶν Ζεβεδαίου. Ὀψίας δὲ γενομένης, ἦλθεν ἄνθρωπος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ. Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ Σῶμα τοῦ Ἰησοῦ. Τότε ὁ Πιλάτος ἐκέλευσεν ἀποδοθῆναι τὸ Σῶμα. Καὶ λαβὼν τὸ Σῶμα ὁ Ἰωσήφ, ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ· καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ, ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ· καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου, ἀπῆλθεν. Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

Εἶτα ἡ συνήθης Ἐκτενής· τὸ, Καταξίωσον, Κύριε· καὶ μετὰ τὴν ἐκφώνησιν ψάλλομ. τὰ παρόντα Ἀπόστιχα. Στιχ. Αὐτόμελα.

Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν, ὁ Ἀριμαθαίας καθεῖλε, τὴν τῶν ἁπάντων ζωὴν, σμύρνῃ καὶ σινδόνι σε Χριστὲ ἐκήδευσε· καὶ τῷ πόθῳ ἠπείγετο, καρδίᾳ καὶ χείλει, σῶμα τὸ ἀκήρατον, σοῦ περιπτύξασθαι· ὅμως συστελλόμενος φόβῳ, χαίρων ἀνεβόα σοι· Δόξα, τῇ συγκαταβάσει σου Φιλάνθρωπε.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ, ὑπὲρ τοῦ παντὸς κατετέθης, ὁ Λυτρωτὴς τοῦ παντὸς, Ἅδης ὁ παγγέλαστος, ἰδών σε ἔπτηξεν· οἱ μοχλοὶ συνετρίβησαν, ἐθλάσθησαν πύλαι, μνήματα ἠνοίχθησαν, νεκροὶ ἀνίσταντο· τότε ὁ Ἀδὰμ εὐχαρίστως, χαίρων ἀνεβόα σοι· Δόξα, τῇ συγκαταβάσει σου Φιλάνθρωπε.

Στ. Καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὅτε ἐν τῷ τάφῳ σαρκικῶς, θέλων συνεκλείσθης ὁ φύσει, τῇ τῆς Θεότητος, μένων ἀπερίγραπτος, καὶ ἀδιόριστος, τὰ θανάτου ἀπέκλεισας, ταμεῖα καὶ Ἅδου, ἅπαντα ἐκένωσας, Χριστὲ, βασίλεια· τότε καὶ τὸ Σάββατον τοῦτο, θείας εὐλογίας καὶ δόξης, καὶ τῆς σῆς λαμπρότητος ἠξίωσας.

Στ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ὅτε αἱ δυνάμεις σε, Χριστὲ, πλάνον ὑπ' ἀνόμων ἑώρων, συκοφαντούμενον, ἔφριττον τὴν ἄφατον, μακροθυμίαν σου, καὶ τὸν λίθον τοῦ μνήματος, χερσὶ σφραγισθέντα, αἷς σου τὴν ἀκήρατον, πλευρὰν ἐλόγχευσαν· ὅμως τῇ ἡμῶν σωτηρίᾳ, χαίρουσαι ἐβόων σοι· Δόξα, τῇ συγκαταβάσει σου Φιλάνθρωπε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δοξα, καὶ νῦν. Ἰδιόμελον. Ἦχος πλ. α.

Σὲ τὸν ἀναβαλλόμενον, τὸ φῶς ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ, καὶ θεωρήσας νεκρὸν γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβών, ὀδυρόμενος ἔλεγεν Οἴμοι, γλυκύτατε Ἰησοῦ! ὃν πρὸ μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος, ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τὸ φοβῷ ἐκυμαίνετο, καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα· ἀλλ' ἰσοῦ νῦν βλέπω σε, δι' ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἰλήσω; ποίαις χερσὶ δὲ προσψαύσω, τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ἄσματα μελῴδω τῇ σῇ ἐξόδῳ Οἰκτίρμων; Μεγαλύνω τὰ Πάθη σου, ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ Ἀναστάσει, κραυγάζων· Κύριε δόξα σοι.

Εἶτα τὸ Νῦν ἀπολύεις, Τρισάγιον. κτλ. Ὅτι σοῦ ἐστι. Καὶ τὰ παρόντα Ἀπολυτίκια. Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα. σινδόνι καθαρᾷ, εἰλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἑστὰς, Ὁ Ἄγγελος ἐβόα· Τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Καὶ γίνεται Ἀπόλυσις.

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Περὶ τὴν 7ην ὥραν, ἢ 12ην μετὰ τὸ Μεσονύκτιον πρὸ τοῦ Εὐλογητοῦ, ἀναγινώσκεται τὸ ιζ'. Κάθισμα τοῦ ψαλτηρίου· καὶ τὰ ιβ'. Ἀναγνώσματα, τοῦ Ἑσπερινοῦ· Εἶτα Εὐλογητοῦ γενομένου, Ὁ Ἐξάψαλ. Εἰς δὲ τὸ Θεὸς Κύριος τὰ τροπάρια Ἦχος β'.

Ὁ εὐσχήμων Ἰωσήφ. Ὅρα ἀνωτέρω. Εἶτα τὸ παρόν. Δόξα. Ὅτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ νῦν. Ταῖς Μυροφόροις Γυναιξί. Ὅρα ἀνωτέρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Συναπτὴ μικρά· εἶτα ψάλλομ. τὰ παρόντα δύο Καθίσματα.

Ἦχος ἀ. Τὸν τάφον σου Σωτήρ.

Συνδόνι καθαρᾷ, καὶ ἀρώμασι θείοις, τὸ Σῶμα τὸ σεπτὸν, ἐξαιτήσας Πιλάτῳ, μυρίζει καὶ τίθησιν, Ἰωσὴφ καινῷ μνήματι, ὅθεν ὄρθριαι, αἱ Μυροφόροι γυναῖκες, ἀνεβόησαν· Δεῖξον ἡμῖν ὡς προεῖπας, Χριστὲ τὴν Ἀνάστασιν. Δόξα. Καὶ νῦν.

Ἐξέστησαν χοροὶ, τῶν Ἀγγέλων ὁρῶντες, τὸν ἐν τοῖς τοῦ Πατρὸς, καθεζόμενον κόλποις, πῶς τάφῳ κατατίθεται ὡς νεκρὸς ὁ ἀθάνατος· ὃν τὰ τάγματα, τὰ τῶν Ἀγγέλων κυκλοῦσι· καὶ δοξάζουσι, σὺν τοῖς νεκροῖς ἐν τῷ ᾅδῃ, ὡς Κτίστην καὶ Κύριον.

Εἶτα Ὁ Ν'. Καὶ ψάλ. τὸν ἑπόμενον Κανόνα εἰς ἕξ. Καὶ ἐν ἑκάστῃ ᾠδῇ ἐπαναλαμβάν. ὁ Εἱρμός· ἔστι δὲ ὁ Κανὼν οὗτος ἀπὸ ἀ. ᾠδῆς ἕως ς'. Ποίημα Μάρκου Μοναχοῦ. ἀπὸ δὲ ς'. ᾠδῆς ἕως θ'. Ποίημα Κοσμᾶ τοῦ Ἁγιοπολίτου. Οἱ Εἱρμοὶ δὲ, Ποίημα γυναικός τινος Κασσίας ὀνομαζομένης.

ὨΙδὴ ἀ. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

» Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον,
» ὑπὸ γῆς ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες· ἀλλ' ἡμεῖς ὡς
» αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Τροπάρια.

Κύριε Θεέ μου, ἐξόδιον ὕμνον καὶ ἐπιτάφιον, ᾠδήν σοι ἄγομαι τῷ τῇ ταφῇ σου ζωῆς μοι, τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον, καὶ ᾅδην θανατώσαντι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν τάφῳ τὰ ὑπερκόσμια, καὶ ὑποχθόνια, κατανοοῦντα Σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου· ὑπὲρ νοῦν ὡράθης γάρ, νεκρος ζωαρχικώτατος.

Ἵνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, καταπεφοίτηκας, ἐν κατωτάτῃ τῆς γῆς· ἀπό γάρ σου οὐκ ἐκρύβη, ἡ ὑπόστασίς μου ἡ ἐν Ἅδᾳ, καὶ ταφεὶς φθαρέντα με, καινοποιεῖς φιλάνθρωπε.

Καταβασία. Κύματι θαλάσσης. Εἶτα ᾠδὴ γ'. Ὁ Εἱρμός.

» Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως,
» ἡ Κτίσις κατιδοῦσα ἐν τῷ Κρανίῳ κρεμάμενον, θάμβει πολ-
» λῷ συνείχετο· Οὐκ ἔστιν ἅγιος πλήν σου, Κύριε, κραυγάζουσα.

Τροπάρια.

Σύμβολα τῆς ταφῆς σου, παρέδειξας τὰς ὁράσεις πληθύνας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νῦν δὲ τὰ κρύφιά σου θεανδρικῶς διετράνωσας, καὶ τοῖς ἐν Ἅδῃ Δέσποτα· Οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε, κραυγάζουσιν.

Ἥπλωσας τὰς παλάμας, καὶ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα, καταστολῇ δὲ Σῶτερ, τῇ ἐν συνδόνι καὶ μνήματι, πεπεδημένους ἔλυσας· Οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε, κραυγάζοντας.

Μνήματι καὶ σφραγίσιν, ἀχώρητε συνεσχέθης βουλήσει· καὶ γὰρ τὴν δύναμίν σου, ταῖς ἐνεργείαις ἐγνώρισας, θεουργικῶς τοῖς μέλπουσιν· Οὐκ ἔστιν ἅγιος, πλὴν σου Κύριε, φιλάνθρωπε.

Καταβασία· Σὲ τῶν ἐπὶ ὑδάτων. Εἶτα τὸ Κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτὴρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, Γυναιξὶ τὴν ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην· σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ » ἐξεστηκὼς ἐβόα Σὺ δυναστῶν διέκοψας, κράτος Ἀγαθὲ, ὁμι » λῶν τοῖς ἐν ᾅδῃ, ὡς παντοδύναμος.

Τροπάρια.

Ἑβδόμην σήμερον ἡγίασας, ἣν εὐλόγησας πρὶν, καταπαύσει τῶν ἔργων· παράγεις γὰρ τὰ σύμπαντα, καὶ καινοποιεῖς, σαββατίζων Σωτὴρ μου, καὶ ἀνακτώμενος.

Ῥωμαλαιότητι τοῦ κρείττονος, ἐκνικήσαντός σου τῆς σαρκὸς ἡ ψυχή σου, διήρηται σπαράττουσα, ἄμφω γὰρ δεσμοὺς, τοῦ θανάτου καὶ Ἅδου, Λόγε τῷ κράτει σου.

Ὁ Ἅδης, Λόγε, συναντήσας σοι, ἐπικράνθη, βροτὸν ὁρῶν τεθεωμένον, κατάστικτον τοῖς μώλωψι, καὶ πανσθενουργὸν, τῷ φρικτῷ τῆς μορφῆς δὲ, διαπεφώνηκεν.

Καταβασία. Τὴν ἐν Σταυρῷ σου.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενο » μένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐ » κραύγαζεν· Ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν » τοῖς μνημείοις, καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

Τροπάρια.

Νεοποιεῖς τοὺς γηγενεῖς, ὁ πλαστουργὸς χοϊκὸς χρηματίσας, καὶ σινδὼν καὶ τάφος ὑπεμφαίνουσι, τὸ συνόν σοι, Λόγε μυστή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριον· ὁ Εὐσχήμων γὰρ βουλευτὴς, τὴν τοῦ σὲ φύσαντος βουλὴν σχηματίζει, ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.

Διὰ θανάτου τὸ θνητὸν, διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις· ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα, ἀπαθανατίζων τὸ πρόσλημμα· ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ εἶδε, Δέσποτα, οὐδὲ ἡ ψυχή σου, εἰς Ἅδου, ξενοπρεπῶς ἐγκαταλέλειπται.

Ἐξ ἀλοχεύτου προελθών, καὶ λογχευθεὶς τὴν πλευράν, Πλαστουργέ μου, ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν, τὴν τῆς Εὔας Ἀδὰμ γενόμενος, ἀφυπνώσας ὑπερρυῶς, ὕπνον φυσίζωον, καὶ ζωὴν ἐγείρας ἐξ ὕπνου καὶ τῆς φθορᾶς· ὡς Παντοδύναμος.

Καταβασία· Θεοφανείας σου Χριστέ.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

» Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις κητώοις Ἰωνᾶς. « σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῆ δοθέντος, ὡς » ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ κουζωδίᾳ· Οἱ » φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπετε.

Τροπάρια.

Ἀνῃρέθης, ἀλλ' οὐ διῃρέθης, Λόγε ἧς μετέσχες σαρκός· εἰ γὰρ καὶ λέλυταί σου, ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους, ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις, τῆς Θεότητος καὶ τῆς σαρκός σου· ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις Υἱός, Λόγος τοῦ Θεοῦ, Θεὸς καὶ ἄνθρωπος.

Βροτοκτόνον, ἀλλ' οὐ Θεοκτόνον, ἔφη τὸ πταῖσμα τοῦ Ἀδάμ· εἰ γὰρ καὶ πεπονθέ σου, τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία, ἀλλ' ἡ Θεότης ἀπαθὴς διέμεινε· τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν μετεστοιχείωσας, καὶ ἀφθάρτου ζωῆς, ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει ἀλλ' οὐκ αἰωνίζει, Ἅδης τοῦ γένους τῶν βροτῶν· σὺ γὰρ τεθεὶς ἐν τάφῳ, Κραταιὲ, ζωαρχικῇ παλάμῃ, τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας, καὶ ἐκήρυξας τοῖς ἀπ' αἰῶνος ἐκεῖ καθεύδουσι, λύτρωτιν ἀψευδῆ, Σῶτερ, γεγονὼς νεκρῶν πρωτότοκος.

Καταβασία. Συνεσχέθη ἀλλ' οὐ κατεσχέθη.

Κοντάκιον. Ἦχος β'.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται· καὶ σμύρνῃ καὶ σινδόνι ἐνειλημμένος, ἐν μνημείῳ κατατίθεται, ὡς θνητὸς ὁ ἀθάνατος· Γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς καὶ ἐκβοῶσαι· Τοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Οἶκος.

Ὁ συνέχων τὰ πάντα ἐπὶ Σταυροῦ ἀνυψώθη, καὶ θρηνεῖ πᾶσα ἡ Κτίσις, τοῦτον βλέπουσα κρεμάμενον γυμνὸν ἐπὶ τοῦ ξύλου· ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, καὶ τὸ φέγγος οἱ ἀστέρες ἀπεβάλλοντο· ἡ γῆ δὲ σὺν πολλῷ τῷ φόβῳ συνεκλονεῖτο· ἡ θάλατσα ἔφυγε, καὶ αἱ πέτραι διερρήγνυντο, μνημεῖα δὲ πολλὰ ἀνεῴχθησαν, καὶ σώματα ἠγέρθησαν ἁγίων ἀνδρῶν. Ἅδης κάτω στενάζει, καὶ Ἰουδαῖοι σκέπτονται συκοφαντῆσαι Χριστοῦ τὴν Ἀνάστασιν· τὰ δὲ Γύναια κράζουσι· Γοῦτο Σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας ἀναστήσεται τριήμερος.

Συναξάριον τοῦ Μηναίου, εἶτα τὸ παρόν.

Τῷ Ἁγίῳ καὶ Μεγάλῳ Σαββάτῳ τὴν Θεόσωμον Ταφὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, καὶ τὴν εἰς Ἅδου κάθοδον ἑορτάζομεν, δι' ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθέν, πρὸς αἰωνίαν ζωὴν μετεβέβηκε.

» Μάτην φυλάττης τὸν τάφον, κουστωδία,
» Οὐ γὰρ καθέξει τύμβος Αὐτοζωΐαν.

Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει Χριστὲ ὁ Θεός ἡμῶν. ἐλέησον ἡμᾶς

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖ-
» δας ἐκ φλογός, ἐν τάφῳ νεκρός, ἄπνους κατατίθεται, εἰς σωτη-
» ρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.

Τροπάρια.

Τέτρωται Ἅδης, ἐν τῇ καρδίᾳ δεξάμενος, τὸν τρωθέντα λόγχῃ τὴν πλευράν, καὶ σθένει πυρὶ θείῳ δαπανώμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.

Ὄλβιος τάφος! ἐν ἑαυτῷ γὰρ δεξάμενος, ὡς ὑπνοῦντα τὸν Δημιουργόν, ζωῆς θησαυρός, θεῖος ἀναδέδεικται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεός εὐλογητὸς εἶ.

Νόμῳ θανόντων, τὴν ἐν τῷ τάφῳ κατάθεσιν, ἡ τῶν ὅλων δέχεται ζωή, καὶ τοῦτον πηγὴν δείκνυσιν ἐγέρσεως, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεος εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν, ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος, καὶ ἐν τάφῳ· καὶ ἐν τῇ Ἐδέμ, Θεότης Χριστοῦ, σὺν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτά, ὁ Θεος εὐλογητὸς εἶ.

Καταβασία. Ἄφραστον θαῦμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ ἡ. Ὁ Εἱρμός

» Ἐκστηθι φρίττων οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια
» τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν,
» καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς
» ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Λέλυται ἄχραντος ναός, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν· Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος, ὁ ἐν ὑψίστοις οἰκῶν, κατῆλθε μέχρις ᾅδου ταμείων· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖται, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν. Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ. νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενος τὸν ἐπὶ πάντων Θεὸν, αἰτεῖται καὶ κηδεύει κραυγάζων· Οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὦ τῶν θαυμάτων τῶν καινῶν! ὦ ἀγαθότητος! ὦ ἀφράστου ἀνοχῆς! ἐκὼν γὰρ ὑπὸ γῆς σφραγίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος Θεὸς συκοφαντεῖται· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Ἐκστηθι φρίττων οὐρανέ.

Εἶτα Τὴν Θεοτόκον καὶ Νικητέρα. Καὶ ψάλ. ἡ θ'. ᾠδὴ ὁ Εἱρμός.

» Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γα-
» στρὶ ἄνευ σπορᾶς, συνέλαβες Υἱόν. Ἀναστήσομαι γὰρ καὶ δο-
» ξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεός, τοὺς
» ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

Τροπάρια.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὠδῖνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, Ἄναρχε Υἱέ· νῦν δέ σε Θεέ μου, ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ῥομφαίᾳ τῆς λύπης, σπαράττομαι δεινῶς· ἀλλ' ἀνάστηθι, ὅπως μεγαλυνθήσωμαι.

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου, οἱ πυλωροὶ ἠμφιεσμένον, βλέποντες στολὴν, ἠμαγμένην Μῆτερ, τῆς ἐκδικήσεως· τοὺς ἐχθροὺς ἐν Σταυρῷ γὰρ, πατάξας ὡς Θεὸς, ἀναστήσομαι αὖθις καὶ μεγαλύνω σε.

Ἀγαλλιάσθω ἡ Κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς· ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης· μετὰ μύρων Γυναῖκες προσυπαν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τάτωσαν· τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ, λυτροῦμαι παγγενῆ· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

Καταβασία. Μὴ ἐποδύρου μου Μῆτερ.

Ἀπὸ δὲ τῆς θ'. ὠδῆς, ἐξέρχεται ὁ Πατριάρχης ἐκ τοῦ Ἱεροῦ Βήματος μετὰ τῶν ἁγίων Ἀρχιερέων, καὶ ψάλλει τὸ ἐγκώμιον, Ἡ ζωὴ ἐν τάφῳ, θυμιάζων τὸν Ἐπιτάφιον καὶ τὸν λαόν· Οἱ δὲ ἅγιοι Ἀρχιερεῖς ψάλλουσι τὰ ἐγκώμια κατὰ σειράν.

ΣΤΑΣΙΣ ΠΡΩΤΗ.

Ἦχος πλ. ά.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Χριστὲ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Ἡ ζωὴ πῶς θνήσκεις; πῶς καὶ τάφῳ οἰκεῖς; τοῦ θανάτου τὸ βασίλειον λύεις δὲ, καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Μεγαλύνομέν σε, Ἰησοῦ Βασιλεῦ, καὶ τιμῶμεν τὴν Ταφήν καὶ τὰ Πάθη σου· δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς, Ἰησοῦ παμβασιλεῦ τάφῳ σήμερον, ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

Ἰησοῦ Χριστέ μου, Βασιλεῦ τοῦ παντός, τί ζητῶν τοῖς ἐν τῷ ᾅδῃ ἐλήλυθας; ἢ τὸ γένος ἀπολῦσαι τῶν βροτῶν.

Ὁ Δεσπότης πάντων, καθορᾶται νεκρὸς, καὶ ἐν μνήματι καινῷ κατατίθεται, ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ἡ ζωὴ ἐν τάφῳ, κατετέθης Χριστὲ, καὶ θανάτῳ σου τὸν θάνατον ὤλεσας, καὶ ἐπήγασας τῷ Κόσμῳ τὴν ζωήν.

Μετὰ τῶν κακούργων, ὡς κακοῦργος Χριστὲ, ἐλογίσθης δικαιῶν ἡμᾶς ἅπαντας, κακουργίας τοῦ ἀρχαίου πτερνιστοῦ.

Ὁ ὡραῖος κάλλει, παρὰ πάντας βροτοὺς, ὡς ἀνείδεος νεκρὸς καταφαίνεται, ὁ τὴν φύσιν ὡραΐσας τοῦ παντός.

Ἅδης πῶς ὑποίσει Σῶτερ παρουσίαν τὴν σὴν, καὶ μὴ θᾶττον συνθλασθείη σκοτούμενος, ἀστραπῆς φωτός σου αἴγλῃ ἐκτυφλωθείς;

Ἰησοῦ γλυκύ μοι, καὶ σωτήριον φῶς, τάφῳ πῶς ἐν σκοτεινῷ κατακέκρυψε; Ὦ ἀφάτου καὶ ἀῤῥήτου ἀνοχῆς.

Ἀπορεῖ καὶ φύσις, νοερὰ καὶ πληθὺς, ἡ ἀσώματος Χριστὲ τὸ μυστήριον, τῆς ἀφράστου καὶ ἀῤῥήτου σου ταφῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦ θαυμάτων ξένων! ὦ πραγμάτων καινῶν! ὁ πνοῆς μοι χορηγὸς ἄπνους φέρεται, κηδευόμενος χερσὶ τοῦ Ἰωσήφ.

Καὶ ἐν τάφῳ ἔδυς, καὶ τῶν κόλπων Χριστὲ, τῶν πατρῴων οὐδαμῶς ἀπεφοίτησας· τοῦτο ξένον καὶ παράδοξον ὁμοῦ.

Ἀληθὴς καὶ πόλου, καὶ τῆς γῆς Βασιλεὺς εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι, ἐπεγνώσθης πάσῃ κτίσει Ἰησοῦ.

Σοῦ τεθέντος τάφῳ πλαστουργέτα Χριστὲ, τὰ τοῦ ᾅδου ἐσαλεύθη θεμέλια, καὶ μνημεῖα ἠνεῴχθη τῶν βροτῶν.

Ὁ τὴν γῆν κατέχων, τῇ δορκὶ νεκρωθεὶς, σαρκικῶς ὑπὸ τῆς γῆς νῦν συνέχεται, τοὺς νεκροὺς λυτρῶν τῆς ᾅδου συνοχῆς.

Ἐκ φθορᾶς ἀνέβης, ἡ ζωή μου Σωτὴρ, σοῦ θανόντος καὶ νεκροῖς προσφοιτήσαντος, καὶ συνθλάσαντος τοῦ ᾅδου τοὺς μοχλούς.

Ὡς φωτὸς, λυχνία νῦν ἡ σάρξ τοῦ Θεοῦ, ὑπὸ γῆν ὡς ὑπὸ μόδιον κρύπτεται, καὶ διώκει τὸν ἐν ᾅδῃ σκοτασμόν.

Νοερῶν συντρέχει, στρατιῶν ἡ πληθὺς, Ἰωσὴφ καὶ Νικοδήμῳ συστεῖλαί σε, τὸν ἀχώρητον ἐν μνήματι σμικρῷ.

Νεκρωθεὶς βουλήσει, καὶ τεθεὶς ὑπὸ γῆν, Ζωοβρύτα Ἰησοῦ μου ἐζώωσας, νεκρωθέντα παραβάσει με πικρᾷ.

Ἡλιοῦτο πᾶσα, κτίσις πάθει τῷ σῷ· πάντα γάρ σοι Λόγε συνέπασχον, συνοχέα σε γινώσκοντα παντός.

Τῆς ζωῆς τὴν πέτραν, ἐν κοιλίᾳ λαβὼν, ᾅδης ὁ παμφάγος, ἐξήμεσεν ἐξ αἰῶνος οὓς κατέπιε νεκρούς.

Ἐν καινῷ μνημείῳ, κατετέθης Χριστὲ, καὶ τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας, ἀναστὰς θεοπρεπῶς ἐκ τῶν νεκρῶν.

Ἐπὶ γῆς κατῆλθες, ἵνα σώσῃς Ἀδάμ· καὶ ἐν γῇ μὴ εὑρηκὼς τοῦτον Δέσποτα, μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Συνκλονεῖται φόβῳ, πᾶσα Λόγε ἡ γῆ, καὶ Φωσφόρος τὰς ἀκτῖνας ἀπέκρυψε, τοῦ μεγίστου γῇ κρυβέντος σου φωτός.

Ὡς βροτὸς μὲν θνήσκεις, ἑκουσίως Σωτὴρ, ὡς Θεὸς δὲ τοὺς θνητοὺς ἐξανέστησας, ἐκ μνημάτων καὶ βυθοῦ ἁμαρτιῶν.

Δακρυρρόους θρήνους, ἐπὶ σὲ ἡ Ἀγνὴ, μητρικῶς ὦ Ἰησοῦ ἐπιῤῥαίνουσα, ἀνεβόα· Πῶς κηδεύσω σε Υἱέ;

Ὥσπερ σίτου κόκκος, ὑποδὺς κόλπους γῆς, τὸν πολύχρουν ἀποδέδωκας ἄσταχυν, ἀναστήσας τοὺς βροτοὺς τοὺς ἐξ Ἀδάμ.

Ὑπὸ γῆν ἐκρύβης, ὥσπερ Ἥλιος νῦν, καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι· ἀλλ' ἀνάτειλον φαιδρότερον Σωτήρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὡς Ἡλίου δίσκον, ἡ σελήνη Σωτὴρ ἀποκρύπτει, καὶ σὲ τάφος νῦν ἔκρυψεν, ἐκλιπόντα τοῦ θανάτου σαρκικῶς.

Ἡ ζωὴ θανάτου, γευσαμένη Χριστός. ἐκ θανάτου τοὺς βροτοὺς ἠλευθέρωσε, καὶ τοῖς πᾶσι νῦν δωρεῖται τὴν ζωήν.

Νεκρωθέντα πάλαι, τὸν Ἀδὰμ φθονερῶς, ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου, νέος Σῶτερ ἐν σαρκὶ φανείς Ἀδάμ.

Νοεραὶ σε τάξεις, ἁπλωμένον νεκρόν, καθορῶται δι' ἡμᾶς ἐξεπλήττοντο, καλυπτόμεναι ταῖς πτέρυξι Σωτήρ.

Καθελών σε Λόγε, ἀπὸ ξύλου νεκρόν, ἐν μνημείῳ Ἰωσὴφ νῦν κατέθετο. ἀλλ' ἀνάστα, σώζων πάντας ὡς Θεός.

Τῶν Ἀγγέλων Σῶτερ, χαρμονὴ πιφυκῶς, νῦν καὶ λύπης τούτοις γέγονας αἴτιος, καθορώμενος σαρκὶ ἄπνους νεκρός.

Ὑψωθεὶς ἐν ξύλῳ, καὶ τοὺς ζῶντας βροτούς, συνυψεῖς' ὑπὸ τὴν γῆν δὲ γενόμενος, τοὺς κειμένους δ' ὑπ' αὐτὴν ἐξανιστάς.

Ὥσπερ λέων Σῶτερ, ἀρυπνώτας σαρκί, ὥς τις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι, ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

Τὴν πλευρὰν ἐνύγης, ὁ πλευρὰν εἰληφὼς τοῦ Ἀδάμ, ἐξ ἧς τὴν Εὔαν διέπλασας, καὶ ἐξέβλυσας κρουνοὺς καθαρτικούς.

Ἐν κρυπτῷ μὲν πάλαι θύεται ὁ ἀμνός· σὺ δ' ὑπαίθριος τυθείς, ἀνεξίκακε, πᾶσαν κτίσιν ἀπεκάθηρας Σωτήρ.

Τίς ἐξεῦρε τρόπον, φρικτὸν ὄντως καινόν: ὁ δεσπόζων γὰρ τῆς Κτίσεως σήμερον, πάθος δέχεται, καὶ θνήσκει δι' ἡμᾶς.

Ὁ ζωῆς ταμίας, πῶς ὁρᾶται νεκρός; ἐκπληττόμενοι οἱ Ἄγγελοι ἐκραζον· πῶς δ' ἐν μνήματι συγκλείεται Θεός;

Λογχονύκτου Σῶτερ, ἐκ πλευρᾶς σου ζωήν. τῇ ζωῇ τῇ ἐκ ζωῆς ἐξωσάσῃ με, ἐπιστάζεις καὶ ζωοῖς με σὺν αὐτῇ.

Ἀπλωθεὶς ἐν Ξύλῳ, συνηγάγω βροτούς· τὴν πλευράν σου δὲ νυγεὶς τὴν ζωηρύτον, πᾶσιν ἄρεσιν πηγάζεις Ἰησοῦ.

Ὁ εὐσχήμων Σῶτερ, σχηματίζει φρικτῶς καὶ κηδεύει. ὡς νεκρὸν εὐσχημόνως σε, καὶ θαμβεῖται σου τὸ σχῆμα τὸ φρικτόν.

Ὑπὸ γῆν βουλήσει, κατελθὼν ὡς θνητός, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια, τοὺς ἐκεῖθεν πεπτωκότας Ἰησοῦ.

Κἂν νεκρὸς ὡράθης, ἀλλὰ ζῶν ὡς Θεός, νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας, τὸν ἐμὸν ἀπονεκρώσας νεκρωτήν.

Ὦ χαρᾶς ἐκείνης! ὦ πολλῆς ἡδονῆς! ἧς περ τοὺς ἐν ᾅδῃ πεπληρωκας, ἐν πυθμέσι φῶς ἀστράψας ζοφεροῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Προσκυνῶ τὸ Πάθος, ἀνυμνῶ τὴν Ταφήν, μεγαλύνω σου τὸ κράτος Φιλάνθρωπε, δι' ὧν λέλυμαι παθῶν φθοροποιῶν.

Κατὰ σοῦ ῥομφαία, ἐστιλβοῦτο Χριστὲ, καὶ ῥομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται, καὶ ῥομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

Ἡ Ἀμνὰς τὸν ἄρνα, βλέπουσα ἐν σφαγῇ, ταῖς αἰκίσι βαλλομένη ἠλάλαζε, συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾷν.

Κἂν ἐνθάπτῃ τάφῳ, κἂν εἰς ᾅδου μολῇς, ἀλλὰ Σῶτερ καὶ τοὺς τάφους ἐκένωσας, καὶ τὸν ᾅδην ἀπεγύμνωσας Χριστέ.

Ἐκουσίως Σῶτερ, κατελθὼν ὑπὸ γῆν, νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας, καὶ ἀνήγαγες ἐν δόξῃ πατρικῇ.

Τῆς Τριάδος ὁ Εἷς, ἐν σαρκὶ δι' ἡμᾶς, ἐπονείδιστον ὑπέμεινε θάνατον· φρίττει ἥλιος, καὶ τρέμει δὲ ἡ γῆ.

Ὡς πικρᾶς ἐκ κρήνης, τῆς Ἰούδα φυλῆς, οἱ ἀπόγονοι ἐν λάκκῳ κατέθεντο, τὸν τροφέα μανναδότην Ἰησοῦν.

Ὁ Κριτὴς ὡς κριτὸς, πρὸ Πιλάτου κριτοῦ, καὶ παρίστατο καὶ θάνατον ἄδικον, κατεκρίθη διὰ ξύλου σταυρικοῦ.

Ἀλαζὼν Ἰσραὴλ, μιαιφόνε λαὲ, τί παθὼν τὸν Βαραββᾶν ἠλευθέρωσας, τὸν Σωτῆρα δὲ παρέδωκας σταυρῷ;

Ὁ χειρί σου πλάσας, τὸν Ἀδὰμ ἐκ τῆς γῆς, δι' αὐτὸν τῇ φύσει γέγονας ἄνθρωπος, καὶ ἐσταύρωσαι βουλήματι τῷ σῷ.

Ὑπακούσας, Λόγε, τῷ ἰδίῳ Πατρὶ, μέχρις ᾅδου τοῦ δεινοῦ καταβέβηκας, καὶ ἀνέστησας τὸ γένος τῶν βροτῶν.

Οἴμοι φῶς τοῦ κόσμου! Οἴμοι φῶς τὸ ἐμὸν! Ἰησοῦ μου ποθεινότατε ἔκραζεν, ἡ Παρθένος θρηνῳδοῦσα γοερῶς.

Φθονουργὲ, φονουργὲ, καὶ ἀλάστορ λαὲ, κἂν σινδόνας καὶ αὐτὸ τὸ σουδάριον, αἰσχύνθητι, ἀναστάντος τοῦ Χριστοῦ.

Δεῦρο δὴ μιαρὲ, φονευτὰ μαθητὰ, καὶ τὸν τρόπον τῆς κακίας σου δεῖξόν μοι, δι' ὃν γέγονας προδότης τοῦ Χριστοῦ.

Ὡς φιλάνθρωπός τις, ὑποκρίνῃ μωρὲ, καὶ τυφλὲ πανωλεθρώτατε ἄσπονδε, ὁ τὸ μύρον πεπρακὼς διὰ τιμῆς.

Οὐρανίου μύρου, ποίαν ἔσχες τιμὴν; τοῦ τιμίου τί ἐθέξω ἀντάξιον; λύσσαν εὗρες καταρώτατε Σατάν.

Εἰ φιλόπτωχος εἶ, καὶ τὸ μύρον λυπῇ, κενουμένου εἰς ψυχῆς ἱλαστήριον, πῶς χρυσῷ ἀπεμπωλεῖς τὸν Φωταυγῆ;

Ὦ Θεὲ καὶ Λόγε, ὦ χαρὰ ἡ ἐμή· πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον; νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τίς μοι δώσει ὕδωρ, καὶ δακρύων πηγάς, ἡ Θεόνυμφος Παρθένος ἐκραύγαζεν, ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν;

Ὦ βουνοὶ καὶ νάπαι, καὶ ἀνθρώπων πλῆθος, κλαύσατε καὶ πάντα θρηνήσατε, σὺν ἐμοὶ τῇ τοῦ Θεοῦ ἡμῶν Μητρί.

Ποτε ἴδω, Σῶτερ, σὲ τὸ ἄχρονον φῶς, τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου; ἡ Παρθένος ἀνεβόα γοερῶς.

Κἂν ὡς πέτρα, Σῶτερ, ἡ ἀκρότομος σὺ, κατεδέξω τὴν τομήν, ἀλλ' ἐπήγασας, ζῶν τὸ ῥεῖθρον, ὡς πηγὴ ὢν τῆς ζωῆς.

Ὡς ἐκ κρήνης μιᾶς, τον διπλοῦν, ποταμόν, τῆς πλευρᾶς σου προχεούσης ἀρδόμενοι, τὴν ἀθάνατον καρπούμεθα ζωήν.

Θέλων ὤρθης Λάζε, ἐν τῷ τάφῳ νεκρός, ἀλλὰ ζῇς καὶ τοὺς βροτοὺς ὡς προείρηκας, Ἀναστάτει σου Σωτήρ μου ἐγερεῖς.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

Ἀνυμνοῦμεν, Λάζε, σὲ τὸν πάντων Θεόν, σὺν Πατρὶ καὶ τῷ Ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου Ταφήν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μακαρίζομέν σε, Θεοτόκε Ἁγνὴ, καὶ τιμῶμεν τὴν Ταφὴν τὴν τριήμερον, τοῦ Υἱοῦ σου καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ ά. Τροπάρ. Ἡ ζωὴ ἐν τάφῳ. σελ 305

Εἶτα Συναπτὴ μικρὰ καὶ ἡ ἐκφώνησις. Ὅτι ἠὐλόγηται σου.

Θυμιάσαντος δὲ τοῦ Ἀρχιερέως ἢ Ἱερέως, ἄρχεται ἡ β'. Στάσις.

ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ.

Ἦχος πλ. α.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν Ζωοδότην, τὸν ἐν τῷ Σταυρῷ τὰς χεῖρας ἐκτείναντα καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Ἄξιόν ἐστι, μεγαλύνειν σε τὸν πάντων Κτίστην· τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν, τὴν ἀπάθειαν ῥυσθέντες τῆς φθορᾶς.

Ἔφριξεν ἡ γῆ, καὶ ὁ ἥλιος Σῶτερ ἐκρύβη, σοῦ τοῦ ἀνεσπέρου φέγγους Χριστὲ, δύναντος ἐν τάφῳ σωματικῶς.

Ὕπνωσας, Χριστὲ, τὸν φυσίζωον ὕπνον ἐν τάφῳ, καὶ βαρέως ὕπνου ἐξήγειρας, τοῦ τῆς ἁμαρτίας, τὸ τῶν ἀνθρώπων γένος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μόνη γυναικῶν, χωρὶς πόνων ἔτεκόν σε Τέκνον, πόνους δὲ νῦν φέρω πάθει τῷ σῷ, ἀφορήτους ἔλεγεν ἡ Σεμνή.

Ἄνω σε Σωτῆρ, ἀχωρίστως τῷ Πατρὶ συνόντα, κάτω δὲ νεκρὸν ἁπλωμένον γῇ, φρίττουσιν ὁρῶντα τὰ Σεραφίμ.

Ῥήγνυται ναοῦ, καταπέτασμα τῇ σῇ σταυρώσει, κρύπτουσι φωστῆρες, Λόγε, τὸ φῶς, σοῦ κρυβέντος Ἥλιε ὑπὸ γῆν.

Γῆς ὁ κατ' ἀρχὰς, μόνῳ νεύματι πήξας τὸν γύρον, ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν· φρίζον τῷ θεάματι Οὐρανέ.

Ἔδυς ὑπὸ γῆν, ὁ τὸν ἄνθρωπον χειρί σου πλάσας, ἵν' ἐξαναστήσῃς τοῦ πτώματος, τῶν βροτῶν τὰ στίφη, πανσθενεστάτῳ κράτει.

Θρῆνον ἱερὸν, δεῦτε ἄσωμεν Χριστῷ θανόντι, ὡς αἱ Μυροφόροι γυναῖκες πρὶν, ἵνα καὶ τὸ Χαῖρε ἀκουσώμεθα σὺν αὐταῖς.

Μύρον ἀληθῶς, σὺ ἀκένωτον ὑπάρχεις Λόγε· ὅθεν σοι καὶ μύρα προσέφερον, ὡς νεκρῷ τῷ ζῶντι, γυναῖκες Μυροφόροι.

Ἅδου μὲν ταφεὶς, τὰ βασίλεια, Χριστὲ, συντρίβεις, θάνατον θανατῷ δὲ θανατοῖς, καὶ φθορᾶς λυτροῦσαι τοὺς γηγενεῖς.

Ῥεῖθρα τῆς ζωῆς, ἡ προχέουσα Θεοῦ σοφία, τάφον ὑπεισδῦσα ζωοποιεῖ, τοὺς ἐν τοῖς ἀδύτοις ἅδου μυχοῖς.

Ἵνα τὴν βροτῶν, καινουργήσω συντριβεῖσαν φύσιν, πέπληγμαι θανάτῳ θελων σαρκί. Μήτερ οὖν μὴ κόπτου τοῖς ὀδυρμοῖς.

Ἔδυς ὑπὸ γῆν, ὁ φωσφόρος τῆς δικαιοσύνης, καὶ νεκροὺς ὥσπερ ἐξ ὕπνου ἐξήγειρας, ἐκδιώξας ἅπαν, τὸ ἐν τῷ ᾅδῃ σκότος.

Κόκκος διφυὴς, ὁ φυσίζωος ἐν γῆς λαγόσι, σπείρεται σὺν δάκρυσι σήμερον, ἀλλ' ἀναβλαστήσας, Κόσμον χαροποιήσει.

Ἔπτηξεν Ἀδὰμ, Θεοῦ βαίνοντος ἐν Παραδείσῳ, χαίρει δὲ πρὸς ᾅδην φοιτήσαντος, πεπτωκὼς τὸ πρώην, καὶ νῦν ἐγηγερμένος.

Σπένδει σοι χοὰς, ἡ τεκοῦσά σε Χριστὲ δακρύων, σαρκικῶς κατατεθέντι ἐν μνήματι. ἐκβοῶσα· Τέκνον, ἀνάστα, ὡς προεφης.

Τάφῳ Ἰωσὴφ, εὐλαβῶς σε τῷ καινῷ συγκρύπτων, ὕμνους ἐξοδίους θεοπρεπεῖς, τοῖς συμμίκτοις θρήνοις μέλπει σοι Σωτήρ.

Ἥλοις σε Σταυρῷ, πεπαρμένον ἡ σὴ Μήτηρ Λόγε, βλέψασα τοῖς ἥλοις λύπης πικρᾶς, βέβληται καὶ βέλεσι τὴν ψυχήν.

Σὲ τὸν τοῦ παντὸς, γλυκασμὸν ἡ Μήτηρ καθορῶσα, πόμα ποτιζόμενον τὸ πικρὸν, δάκρυσι τὰς ὄψεις βρέχει πικρῶς.

Τέτρωμαι δεινῶς, καὶ σπαράττομαι τὰ σπλάγχνα Λόγε, βλέπουσα τὴν ἄδικόν σου σφαγήν· ἔλεγεν ἡ Πάναγνος ἐν κλαυθμῷ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὄμμα τὸ γλυκύ, καὶ τὰ χείλη σου πῶς μύσω Λόγε; πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε; φριττων ἀνεβοα ὁ Ἰωσήφ.

Ὕμνους Ἰωσήφ, καὶ Νικοδήμος ἐπιταφίους, ᾄδουσι Χριστῷ νεκρωθέντι νῦν· ᾄδει δὲ σὺν τούτοις καὶ Σεραφίμ.

Δύνεις ὑπὸ γῆν, Σῶτερ, Ἥλιε Δικαιοσύνης· ὅθεν ἡ τεκοῦσα Σελήνη σε, ταῖς λύπαις ἐκλείπει, σῆς θέας στερουμένη.

Ἔφριξεν ὁρῶν. Σῶτερ ᾅδης σε τὸν Ζωοδοτην, πλοῦτον τὸν ἐκείνου σκυλεύοντα, καὶ τοὺς ἀπ' αἰῶνος, νεκρους ἐξανιστῶντα.

Ἥλιος φαιδρὸν, ἀπαστράπτει μετα νύκτα, Λογε· καὶ σὺ δ' ἀναστὰς ἐξαστράψειας, μετὰ θάνατον φαιδρῶς ὡς ἐκ παστού.

Γῆ σε πλαστουργὲ, ὑπὸ κόλπους δεξαμένη τρόμῳ, συσχεθεῖσα Σῶτερ τινάσσεται, ἀφυπνώσασα νεκρούς τῷ τιναγμῷ.

Μυροις σε Χριστὲ, ὁ Νικόδημος καὶ ὁ Εὐσχήμων, νῦν καινοπρεπῶς περιστείλαντες· Φριξον, ἀνεβοων, πᾶσα ἡ γῆ!

Ἔδυς, Φωτουργὲ, καὶ συνέδυ σοι τὸ φῶς Ἡλίου· τρόμῳ δὲ ἡ Κτίσις συνέχεται, πάντων σε κηρύττουσα Ποιητήν.

Λίθος λαξευτὸς, τὸν ἀκρόγωνον καλύπτει λίθον ἄνθρωπος θνητὸς δ' ὡς θνητὸν Θεόν, κρύπτει νῦν τῷ τάφῳ φρῖξον ἡ γῆ!

Ἴδε μαθητὴν, ὃν ἠγάπησας καὶ σὺν Μητέρα, τέκνον, καὶ φθογγὴν δος γλυκυτατον, ἔκραζε δακρύουσα ἡ Ἁγνή.

Σὺ ὡς ὢν ζωῆς, χορηγὸς Λογε τοὺς Ἰουδαίους, ἐν Σταυρῷ τεθεις οὐκ ἐνέκρωσας, ἀλλ' ἀνέστησας καὶ τούτων τοὺς νεκρούς.

Κάλλος Λογε πρὶν, οὐδὲ εἶδος ἐν τῷ πάσχειν ἔσχες, ἀλλ' ἐξαναστας ὑπερέλαμψας, καλλωπίσας τοὺς βροτοὺς θείαις αὐγαῖς.

Ἔδυς τῇ σαρκι, ὁ ἑσπερος, εἰς γῆν φωσφορος καὶ μὴ φέρων βλέπειν ὁ Ἥλιος, ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

Ἥλιος ὁμοῦ καὶ Σελήνη σκοτισθεντες Σῶτερ, δουλους εὐνοοῦντας εἰκονιζον, οἳ μελαίνας ἀμφιέννυνται στολας.

Οἰδέ σε Θεόν, Ἑκατονταρχος κἂν ἐνεκρώθης· πῶς σε οὖν, Θεέ μου, ψαύτω χερσί; φριττω, ἀνεβόα ὁ Ἰωσήφ.

Ὕπνωσεν Ἀδάμ, ἀλλὰ θάνατον πλευρᾶς ἐξαγει, σὺ δὲ νῦν ὑπνώσας, Λόγε Θεοῦ, βρύεις ἐκ πλευρᾶς σου Κοσμῳ ζωην.

Ὕπνωσας μικρὸν, καὶ ἐζώωσας τοὺς τεθνεὼτας, καὶ ἐξαναστὰς ἐξανέστησας, τοὺς ὑπνοῦντας ἐξ αἰῶνος Ἀγαθέ.

Ἦρθης ἀπὸ γῆς, ἀλλ' ἀνέβλυσας τῆς σωτηρίας, τὸν οἶνον ζωῤῥύτε ἄμπελε. Δοξάζω τὸ πάθος καὶ τὸν Σταυρόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πῶς οἱ νοεροὶ Ταγματάρχαι σε Σωτῆρ ὁρῶντες, γυμνόν, ἠμαγμένον, κατάκριτον, ἔφερον τὴν τόλμαν τῶν σταυρωτῶν;

Ἀραβιανόν, σκολιώτατον γένος Ἑβραίων, ἔγνως τὴν ἀνέγερσιν τοῦ ναοῦ· διατί κατέκρινας τὸν Χριστόν;

Χλαῖναν ἐμπαιγμοῦ, τὸν Κοσμήτορα πάντων ἐνδύεις, ὃς τὸν Οὐρανὸν κατηστέρωσε, καὶ τὴν γῆν ἐκόσμησε θαυμαστῶς.

Ὥσπερ πελεκάν, τετρωμένος τὴν πλευράν σου, Λόγε, σοὺς θανόντας παῖδας ἐζώωσας, ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

Ἥλιον τὸ πρίν, Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων, ἔστησεν· αὐτὸς δὲ ἀπέκρυψας, καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

Κολπων πατρικῶν ἀνεκφοίτητος μείνας οἰκτίρμων, καὶ βροτὸς γενέσθαι εὐδόκησας, καὶ εἰς ᾅδην κατεβέβηκας Χριστέ.

Ἤρθη σταυρωθεὶς ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, καὶ ὡς ἄπνους ἐν αὐτῇ νῦν προσκλίνεται, ὃ μὴ φέρουσα ἐσείετο δεινῶς.

Οἴμοι, ὦ Γιέ! ἡ Ἀπειράνδρος θρηνεῖ καὶ λέγει· ὃν ὡς Βασιλέα γὰρ ἤλπιζον, κατάκριτον νῦν βλέπω ἐν Σταυρῷ

Ταῦτα Γαβριὴλ, μοὶ ἀπήγγειλεν ὅτε κατέπτη, ὃς τὴν βασιλείαν αἰώνιον, ἔφη τοῦ Γιοῦ μου τοῦ Ἰησοῦ.

Φεῦ! τοῦ Συμεὼν, ἐκτετέλεσται ἡ προφητεία· ἡ γὰρ σὴ ῥομφαία διέβραμε, τὴν ἐμὴν καρδίαν Ἐμμανουήλ.

Κἂν τοὺς ἐκ νεκρῶν, ἐπαισχύνθητε, ὦ Ἰουδαῖοι, οὓς ὁ Ζωοδότης ἀνέστησεν, ὃν αὐτοὶ ἐκτείνατε φθονερῶς.

Ἔφριξεν ἰδὼν, τὸ ἄδρατον φῶς σε Χριστέ μου, μνήματι κρυπτόμενον ἄπνουν τε· καὶ ἐσκότασεν ὁ Ἥλιος τὸ φῶς.

Ἔκλαιε πικρῶς, ἡ Πανάμωμος Μήτηρ σου Λόγε, ὅτε ἐν τῷ τάφῳ ἐώρακε, σὲ τὸν ἄῤῥαστον καὶ ἄναρχον Θεόν.

Νέκρωσιν τὴν σὴν, ἡ Πανάφθορος Χριστέ σου Μήτηρ, βλέπουσα πικρῶς σοι ἐφθέγγετο· Μὴ βραδύνῃς ἡ ζωὴ ἐν τοῖς νεκροῖς.

Ἅδης ὁ δεινὸς, συνετρόμαξεν ὅτε σε εἶδε, Ἥλιε τῆς δόξης ἀθάνατε, καὶ ἐδίδου τοὺς δεσμίους ἐν σπουδῇ.

Μέγα καὶ φρικτὸν, Σῶτερ, θέαμα νῦν καθορᾶται! ὁ ζωῆς γὰρ θέλων παραίτιος, θάνατον ὑπέστη, ζωῶσαι θέλων πάντας.

Νύττῃ τὴν πλευράν, καὶ ἠλοῦσαι Δέσποτα τὰς χεῖρας, πληγὴν ἐκ πλευρᾶς σου ἰώμενος, καὶ τὴν ἀκρασίαν χειρῶν τῶν προπατόρων.

Πρὶν τὸν τῆς Ῥαχὴλ, υἱὸν ἔκλαυσεν ἅπας κατ' οἶκον· νῦν τὸν τῆς Παρθένου ἐκόψατο, Μαθητῶν χορεία σὺν τῇ Μητρί.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ῥάπισμα χειρῶν, Χριστοῦ δέδωκαν ἐν σιαγόνι, τοῦ χειρὶ τὸν ἄνθρωπον πλάσαντος, καὶ τὰς πύλας θλάσαντος τοῦ θηρός.

Ὕμνοις σου Χριστὲ, νῦν τὴν Σταύρωσιν καὶ τὴν Ταφήν τε, ἅπαντες, πιστοὶ ἐκθειάζομεν, οἱ θανάτου λυτρωθέντες σῇ ταφῇ.

Δόξα Πατρί.

Ἄναρχε Θεὲ, συναΐδιε Λόγε καὶ Πνεῦμα, σκῆπτρα τῶν Ἀνάκτων κραταίωσον, κατὰ πολεμίων ὡς ἀγαθός. Καὶ νῦν.

Τέξασα ζωὴν, Παναμώμητε Ἁγνὴ Παρθένε, παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, καὶ βράβευσον εἰρήνην ὡς ἀγαθή.

Καὶ πάλιν τὸ πρῶτον Τροπάριον. Ἄξιον ἐστιν. Σελ. 309.

Εἶτα Συναπτὴ μικρὰ, καὶ ἡ Ἐκφώνησις. Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος κτλ.

Καὶ θυμιῶντος τοῦ Ἀρχιερέως ἄρχεται ἡ τρίτη στάσις.

ΣΤΑΣΙΣ ΤΡΙΤΗ ΗΧΟΣ Γ'.

Αἱ γενεαὶ πᾶσαι, ὕμνον τῇ Ταφῇ σου, προσφέρουσι, Χριστέ μου.

Καθελὼν τοῦ ξύλου, ὁ Ἀριμαθαίας, ἐν τάφῳ σε κηδεύει.

Μυροφόροι ἦλθον, μύρα σοι, Χριστέ μου, κομίζουσαι προφρόνως.

Δεῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους, προσοίσωμεν τῷ Κτίστῃ.

Ὡς νεκρὸν τὸν ζῶντα, σὺν Μυροφόροις πάντες μυρίσωμεν ἐμφρόνως.

Ἰωσὴφ τρισμάκαρ, κήδευσον τὸ σῶμα, Χριστοῦ τοῦ Ζωοδότου.

Οὗ; ἔθρεψε τὸ μάννα, ἐκίνησαν τὴν πτέρναν, κατὰ τοῦ Εὐεργέτου

Οὓς ἔθρεψε τὸ μάννα, φέρουσι τῷ Σωτῆρι, χολὴν ἅμα καὶ ὄξος.

Ὢ τῆς παραφροσύνης καὶ τῆς Χριστοκτονίας, τῆς τῶν Προφητοκτόνων!

Ὡς ἄφρων ὑπηρέτης, προδέδωκεν ὁ μύστης, τὴν ἄβυσσον σοφίας.

Τὸν ῥύστην ὁ πωλήσας, αἰχμάλωτος κατέστη, ὁ δόλιος Ἰούδας.

Κατὰ τὸν Σολομῶντα, βόθρος βαθὺς τὸ στόμα, Ἑβραίων παρανόμων.

Ἑβραίων παρανόμων, ἐν σκολιαῖς πορείαις, τρίβολοι καὶ παγίδες.

Ἰωσὴφ κηδεύει, σὺν τῷ Νικοδήμῳ νεκροπρεπῶς τὸν Κτίστην.

Ζωοδότα Σῶτερ, δόξα σου τῷ κράτει, τὸν Ἅδην καθελόντι.

Ὕπτιον ὁρῶσα, ἡ Πάναγνός σε Λόγε, μητροπρεπῶς ἐθρήνει.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦ γλυκύ μου ἔαρ, γλυκύτατόν μου Τέκνον, ποῦ σου ἔδυ τὸ κάλλος;

Θρῆνον συνεκίνει, ἡ πάναγνός σου Μήτηρ, σοῦ Λόγε νεκρωθέντος

Γύναια σὺν μύροις, ἤκουσι μυρίσαι, Χριστὸν τὸ θεῖον μύρον.

Θάνατον θανάτῳ, σὺ θανατοῖς Θεέ μου, θείᾳ σου δυναστείᾳ.

Πεπλάνηται ὁ πλάνος, ὁ πλανηθεὶς λυτροῦται, σοφίᾳ σῇ θεέ μου

Πρὸς τὸν πυθμένα Ἅδου, κατήχθη ὁ προδότης, διαφθορᾶς εἰς φρέαρ.

Τρίβολοι καὶ παγίδες, ὁδοὶ τοῦ τρισαθλίου, παράφρονος Ἰούδα.

Συναπολοῦνται πάντες, οἱ σταυρωταί σου Λόγε, Υἱὲ Θεοῦ Παντάναξ.

Διαφθορᾶς εἰς φρέαρ, συναπολοῦνται πάντες, οἱ ἄνδρες τῶν αἱμάτων.

Υἱὲ Θεοῦ Παντάναξ, Θεέ μου πλαστουργέ μου, πῶς πάθος κατεδέξω;

Ἡ δάμαλις τὸν μόσχον, ἐν ξύλῳ κρεμασθέντα, ἠλάλαζεν ὁρῶσα

Σῶμα τὸ ζωηφόρον, ὁ Ἰωσὴφ κηδεύει μετὰ τοῦ Νικοδήμου.

Ἀνέκραξεν ἡ Κόρη, θερμῶς δακρυρροοῦσα, τὰ σπλάγχνα κεντωμένη.

Ὦ φῶς τῶν ὀφθαλμῶν μου, γλυκύτατόν μου τέκνον, πῶς τάφῳ νῦν καλύπτῃ;

Τὸν Ἀδὰμ καὶ Εὔαν, ἐλευθερῶσαι Μῆτερ, μὴ θρήνει, ταῦτα πάσχω.

Δοξάζω σου Υἱέ μου, τὴν ἄκραν εὐσπλαγχνίαν, ἧς χάριν ταῦτα πάσχεις.

Ὄξος ἐποτίσθης, καὶ χολὴν Οἰκτίρμον, τὴν πάλαι λύων γεῦσιν

Ἰκρίῳ προσεπάγης, ὁ πάλαι τὸν λαόν σου, ξύλῳ νεφέλης σκέπων.

Αἱ Μυροφόροι, Σῶτερ, τῷ τάφῳ προσελθοῦσαι, προσέφερόν σοι μύρα

Ἀνάστηθι Οἰκτίρμον, ἡμᾶς ἐκ τῶν βαράθρων, ἐξανιστῶν τοῦ Ἅδου.

Ἀνάστα Ζωοδότα, ἡ σὲ τεκοῦσα Μήτηρ, δακρυρροοῦσα λέγει.

Σπεῦσον ἐξαναστῆναι, τὴν λύπην λύων Λόγε, τῆς σὲ ἀγνῶς τεκούσης.

Οὐράνιαι Δυνάμεις, ἐξέστησαν τῷ φόβῳ, νεκρόν σε καθορῶσαι.

Τοῖς πόθῳ τε καὶ φόβῳ, τὰ Πάθη σου τιμῶσι, δίδου πταισμάτων λύσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦ φρικτὸν καὶ ξένον, θέαμα Θεοῦ Λόγε! πῶς γῆ σε συγκαλύπτει; Φέρων πάλαι φεύγει, Σῶτερ Ἰωσήφ σε, καὶ νῦν σε ἄλλος θάπτει.

Κλαίει καὶ θρηνεῖ σε, ἡ πάναγνός σου Μήτηρ, Σωτήρ μου νεκρωθέντα.

Φρίττουσιν οἱ νόες, τὴν ξένην καὶ φρικτήν σου, ταφὴν τοῦ πάντων Κτίστου.

Ἔῤῥαναν τὸν τάφον, αἱ Μυροφόροι μύρα, λίαν πρωὶ ἐλθοῦσαι. Εἰρήνην Ἐκκλησίᾳ, λαῷ σου σωτηρίαν, δώρησαι σῇ Ἐγέρσει.

Δόξα Πατρί.

Ὦ Τριὰς Θεέ μου, Πατὴρ Υἱὸς καὶ Πνεῦμα, ἐλέησον τὸν κόσμον.

Καὶ νῦν.

Ἰδεῖν τὴν τοῦ Υἱοῦ σου, Ἀνάστασιν Παρθένε, ἀξίωσον σοὺς δούλους.

Συναπτὴ μικρά· καὶ ἡ Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς

Εἶτα τὰ Εὐλογητάρια ἦχος πλ. α'.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτὴρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις. Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἤσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Λίαν πρωὶ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ' ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν Ἀνάστασιν δὲ, Ἀποστόλοις εἴπατε.

Μυροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου Σῶτερ ἐνηχοῦντο, Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος. Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα· τὴν ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ, κράζοντες τὸ, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. (γ')

Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις· Ὅτι σὲ αἰνοῦσι πᾶσαι.

Καὶ εὐθὺς τὸ ΕΞΑΠΟΣΤΟΛΑΡΙΟΝ. ἐκ γ'. ἦχος δ'.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν (τοῦτο μόνον).

Εἰς τοὺς Αἴνους ψάλλομ. τὰ ἑξῆς δ'. στιχ. ἰδιόμ. Ἦχος δ'.

Σήμερον συνέχει τάφος, τὸν συνέχοντα παλάμῃ τὴν Κτίσιν· καλύπτει λίθος, τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς· ὑπνοῖ ἡ ζωή, καὶ Ἅδης τρέμει, καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται. Δοξα τῇ σῇ οἰκονομίᾳ, δι' ἧς τελέσας πάντα σαββατισμὸν αἰώνιον, ἐδωρήσω ἡμῖν τὴν παναγίαν ἐκ νεκρῶν σου Ἀνάστασιν.

Τί τὸ ὁρώμενον θέαμα; τίς ἡ παροῦσα κατάπαυσις; ὁ Βασιλεὺς τῶν αἰώνων, τὴν διὰ πάθους τελέσας οἰκονομίαν, ἐν τάφῳ σαββατίζει, καινὸν ἡμῖν παρέχων σαββατισμόν. Αὐτῷ βοήσωμεν· Ἀνάστα ὁ Θεός, κρίνων τὴν γῆν, ὅτι σὺ Βασιλεύεις εἰς τοὺς αἰῶνας, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Δεῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν ἐν τάφῳ κειμένην, ἵνα τοὺς ἐν τάφοις κειμένους ζωοποιήσῃ· δεῦτε σήμερον, τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι προφητικῶς αὐτῷ ἐκβοήσωμεν· Ἀναπεσὼν κεκοίμησαι ὡς λέων· τίς ἐγερεῖ σε Βασιλεῦ; ἀλλ' ἀνάστηθι αὐτεξουσίως, ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν ἑκουσίως· Κύριε δόξασοι.

Ἦχος πλ. δ'.

Ἠτήσατο Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ· ἔδει γὰρ αὐτὸν ἐκ τάφου ὡς ἐκ παστάδος προελθεῖν· ὁ συντρίψας κράτος θανάτου, καὶ ἀνοίξας πύλας Παραδείσου ἀνθρώποις, δοξα σοι

Δόξα Ἦχος πλ. δ'.

Τὴν σήμερον μυστικῶς, ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων· Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην. Τοῦτο γάρ ἐστι τὸ εὐλογημένον Σάββατον. αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα· ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἰκονομίας, τῇ σαρκὶ σαββάτισας· καὶ εἰς ὃ ἦν, πάλιν ἐπανελθών, διὰ τῆς Ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία Μεγάλη.

Μετὰ τὴν Δοξολογίαν εἰσοδεύουσιν οἱ Ἱερεῖς μετὰ τοῦ Εὐαγγελίου καὶ τοῦ Ἐπιταφίου κύκλῳ τῆς ἐκκλησίας μετὰ τοῦ λαοῦ κρατοῦντες οἱ Ἱερεῖς ἐπὶ κεφαλῆς τὸ Ἐπιτάφιον, ὅτε ψάλλεται ἐν τῶν παρόντων ἀσματικῶν κατὰ βούλησιν.

Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς Ἢ τὸν Ἥλιον κρύψαντα. Ὅρα εἰς τὴν Ἀνθολ. τοῦ Φωκαέως.

Ἐπανελθόντων ἁπάντων ἔνδον τοῦ Ναοῦ, καὶ τῶν Ἱερέων εἰσελθόντων ἐντὸς τοῦ ἁγίου Βήματος, ἐκφωνεῖ ὁ Ἀρχιερεὺς ἢ Ἱερεύς· Πρόσχωμεν· Εἰρήνη πᾶσι· Σοφία. Καὶ ψάλλονται ἀμέσως τὰ Τροπάρια· Ὅτε κατῆλθες. Ταῖς Μυροφόροις, καὶ ὁ Εὐσχήμων Ἰωσήφ. Σελ. 299. Εἶτα ἡ Προφητεία. Ἰεζεκιήλ. Κεφ. ΛΖ. 1-14. καὶ εὐθὺς ὁ Ἀπόστολος.

Προκείμενον, Ἦχος βαρύς.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου.

Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

Πρὸς Κορινθίους Α! Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. Ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι· καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη, Χριστός. Ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ πίστεως.

Εἶτα ὁ Ἀρχιερεὺς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Πύλης. Ἀναγινώσκει τὸ ιϐ'. Εὐαγγέλ. Τῇ ἐπαύριον, ἥτις ἐστι Σελ. 280.

Ἐκτενής. Εἴπωμεν πάντες. Πληρώσωμεν τὴν Ἑωθινήν. καὶ Ἀπόλυσις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΑΓΙΩ ΚΑΙ ΜΕΓΑΛΩ ΣΑΒΒΑΤΩ

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ ΚΑΙ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Μετὰ τὸν Προοιμιακόν. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν Στίχ. ἡ καὶ ψάλ. Στιχ. Ἀναστάσιμα δ'. καὶ γ'. Ἰδιόμ. εἰς δ'. Ἦχος α

Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς, πρόσδεξαι ἅγιε Κύριε, καὶ παρά σχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

Κυκλώσατε λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν. ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστὸν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Τῷ Πάθει σου Χριστὲ, παθῶν ἠλευθερώθημεν καὶ τῇ Ἀνα στάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν· Κύριε δόξα σοι·

Στιχηρὰ Ἰδιόμελα. Ἦχος πλ. δ'.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Συνέφερέ μοι, εἰ τὸν ἐκ Μαρίας γεννηθέντα μὴ ὑπεδεξάμην· ἐλθὼν γὰρ ἐπ' ἐμὲ, τὸ κράτος μου ἔλυσε· πύλας χαλκᾶς συνέτριψε· ψυχὰς, ἃς κατεῖχον τὸ πρὶν, Θεὸς ὢν ἀνέστησε. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου. Δίς.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Κατελύθη μου ἡ ἐξουσία· ἐδεξάμην θνητὸν, ὥσπερ ἕνα τῶν θανέντων· τοῦτον δὲ κατέχειν ὅλως οὐκ ἰσχύω, ἀλλ' ἀπολῶ μετὰ τούτου, ὧν ἐβασίλευον· ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Σήμερον ὁ Ἅδης στένων βοᾷ· Κατεπόθη μου τὸ κράτος· Ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν· ὧν περ ἐβασίλευον ἐστέρημαι, καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα· ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς· οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος· Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Δόξα, Ἦχος πλ. β'. Τὴν σήμερον μυστικῶς Σελ. 316.

Καὶ νῦν Θεοτοκίον Ἦχος α'.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ἅγιμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη, οὐρανὸς καὶ ναὸς τῆς Θεότητος· αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει, τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου τὸ, Φῶς ἱλαρὸν καὶ τὰ γ΄. Ἀναγνώσματα. Τῆς Γενέσεως τοῦ Ἰωνᾶ. καὶ τοῦ Δανιήλ.

Εἶτα Συναπτή· ἀντὶ δὲ τοῦ Τρισαγίου τὸ Ὅσοι εἰς Χριστόν.

Ὁ Ἀπόστολος. Προκείμενον ἦχος πλ. α΄.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ς΄. 3-11

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα, ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ· εἰδότες, ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα οὐ λέγομεν· ἀλλ' εὐθὺς ψάλ. εἰς ἦχον βαρύν· τὸ Ἀνάστα, ὁ Θεὸς, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι. (διασκορπίζων ὁ Ἱερεὺς δάφνας ἐξερχομένου ἐκ τοῦ Ἱεροῦ βήματος, καθ' ἅπαντα τὸν Ναόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἶτα ἀπ' ἄμβωνος ἀναγινώσκει ὁ Ἱεροδιάκον τὸ ἑξῆς Εὐαγ.

Ἐκ τοῦ κατὰ Ματθαῖον. ΚΗ! 1-20.

Ὀψὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον. Καὶ ἰδοὺ, σεισμὸς ἐγένετο μέγας. Ἄγγελος γὰρ Κυρίου, καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. Ἀποκριθεὶς δὲ ὁ Ἄγγελος, εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς· οἶδα γὰρ, ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. Οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ, καθὼς εἶπε· δεῦτε, ἴδετε τὸν τόπον, ὅπου ἔκειτο ὁ Κύριος. Καὶ ταχὺ πορευθεῖσαι, εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ. ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ, προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ, εἶπον ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔδραμον ἀπαγγεῖλαι τοῖς Μαθηταῖς αὐτοῦ. Ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς Μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ, ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς, λέγων· Χαίρετε. Αἱ δὲ προσελθοῦσαι, ἐκράτησαν αὐτοῦ τοὺς πόδας, καὶ προσεκύνησαν αὐτῷ. Τότε λέλει αὐταῖς ὁ Ἰησοῦς· Μὴ φοβεῖσθε· ὑπάγετε. ἀπαγγείλατε τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. Πορευομένων δὲ αὐτῶν, ἰδοὺ, τινὲς τῆς κουστωδίας, ἐλθόντες εἰς τὴν Πόλιν, ἀπήγγειλαν τοῖς Ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα. Καὶ συναχθέντες μετὰ τῶν Πρεσβυτέρων, συμβούλιόν τε λαβόντες, ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· Εἴπατε· Ὅτι οἱ Μαθηταὶ αὐτοῦ, νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν, ἡμῶν κοιμωμένων. Καὶ ἐὰν ἀκουσθῇ τοῦτο ἐπὶ τοῦ Ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. Οἱ δὲ λαβόντες τὰ ἀργύρια, ἐποίησαν ὡς ἐδιδάχθησαν. Καὶ διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέχρι τῆς σήμερον. Οἱ δὲ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ· οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ

Δημόσιο Κεντρικό Βιβλιοθήκη Βέροιας

καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ, ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Ἀντὶ δὲ τοῦ Χερουβικοῦ, ψάλλομεν τὸ παρόν Ἦχος πλ. α'.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γνῖνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προσέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου, οἱ χοροὶ τῶν Ἀγγέλων, μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον· Ἀλληλούϊα.

Κοινωνικόν. Ἦχος δ'.

Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς. Ἀλληλ.

Ἀντὶ δὲ τοῦ, Εἴδομεν τὸ Φῶς, λέγεται τὸ παρόν.

Μνήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ

ΚΥΡΙΑΚΗ ΤΟΥ ΠΑΣΧΑ

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Ζήτει τὴν Τυπικὴν διάταξιν ἐν τῇ ἀρχῇ Σελὶς 5. Μετὰ τὴν Ἐκφώνησιν Ὅτι πρέπει σοι ψάλ. τὸν ἑξῆς Κανόνα εἰς δ'.

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός

» Ἀναστάσεως ἡμέρα, λαμπρυνθῶμεν λαοί· Πάσχα Κυρίου,
» Πάσχα· ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς οὐρανὸν,
» Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας».

Δημόσια Κ[illegible] Βέροιας

Καθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψώμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ Χαίρετε φάσκοντα, τρανῶς ἀκουσώμεθα, ἐπινίκιον ᾄδοντες.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Τὸ, Χριστὸς ἀνέστη, ἐκ γ'. Εἶτα, Ἀναστὰς ὁ Ἰησοῦς, ἅπαξ. ἅπερ λέγονται εἰς ὅλας τὰς Ὠδάς. Εἶτα Συναπτὴ μικρά· μεθ' ἣν ἡ Ἐκφώνησις· Ὅτι σὸν τὸ κράτος.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

» Δεῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερα» τουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὁμβρήσαντος » Χριστοῦ, ἐν ᾧ στερεούμεθα».

Νῦν πάντα πεπλήρωται φωτὸς, οὐρανός τε καὶ γῆ, καὶ τὰ καταχθόνια· ἑορταζέτω γοῦν, πᾶσα κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

Χθὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι· συνεσταυρούμην σοι χθές· αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ἡ Ὑπακοή. Ἦχος δ'.

Προλαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὗροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου. Τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα· δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον· ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σώζοντος τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

» Ἐπὶ τῆς θείας φυλακῆς, ὁ θεηγόρος Ἀββακοὺμ, στήτω » μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως » λέγοντα Σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι ἀνέστη Χριστὸς » ὡς παντοδύναμος.

Ἄρσεν μὲν, ὡς διανοῖξαν τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστός· ὡς βρωτὸς δὲ, ἀμνὸς προσηγόρευται· ἄμωμος δὲ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ἄγευστος κηλὶδος, τὸ ἡμέτερον Πάσχα· καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ὡς ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος χρηστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον· καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ὁ Θεοπάτωρ μὲν Δαυὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ λαὸς δὲ τοῦ Θεοῦ ὁ ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν ὁρῶντες, εὐφρανθῶμεν ἐνθέως, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακ. Ἐκφώνησις. Ὅτι ἁγαθός

Ὠδὴ ε'. Ὁ Εἱρμός.

» Ὀρθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου, τὸν ὕμνον » προσοίσωμεν τῷ Δεσπότῃ, καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύ- » νης ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα».

Τὴν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ Ἅδου σειραῖς συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο, Χριστὲ, ἀγαλλόμενῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

Προσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ ἐκ τοῦ μνήματος, ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ σωτήριον.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου.

Ἐκφώνησις. Ὅτι ἡγίασται.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

» Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς· καὶ συνέτριψας » μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστὲ, καὶ τριή- » μερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου».

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτέρ μου, τὸ ζῶν τε καὶ ἄθυτον, ἱερεῖον, ὡς Θεός, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ συνανέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτης.

Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεύς. (Κοντάκιον Ἦχος πλ. δ'.)

Εἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ Μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν πρὸ ἡλίου Ἥλιον. δύναντά ποτε ἐν τάφῳ, προέρθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν, Μυροφόροι κόραι καὶ πρὸς ἀλλήλας ἔβοων· Ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν, Σῶμα ζωηφόρον καὶ τεθαμμένον· Σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδάμ, κείμενον ἐν τῷ μνήματι· ἄγωμεν, σπεύσωμεν, ὥς περ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ· καὶ κλαύσωμεν, καὶ κράξωμεν· Ὦ Δέσποτα, ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

Συναξάριον τοῦ Μηναίου, ἔτα τὸ παρόν.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχ. Χριστὸς κατελθὼν πρὸς πάλην Ἅδου μόνος,
Λαβὼν ἀνῆλθε πολλὰ τῆς νίκης σκύλα.

Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀνάστασιν Χριστοῦ ἑκ γ'. καὶ τὸ Ἀναστὰς ὁ Ἰησοῦς, ἑκ γ'.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

» Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος,
» πάσχει ὡς θνητός, καὶ διὰ πάθους τὸ θνητὸν, ἀφθαρσίας ἐν-
» δύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ
» ὑπερένδοξος».

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον· ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Ἅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας, τῆς ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καταβασία. Ὁ Παῖδας ἐκ καμίνου Ἐκφώνησις. Εἴη τὸ κράτος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, » ἡ βασιλὶς καὶ κυρία, ἑορτῶν ἑορτή, καὶ πανήγυρίς ἐστι πα- » νηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας».

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς ἐγέρσεως, βασιλείας τε Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, ὡσεὶ νεφέλαι ὡς φωστῆρες, ἐκ δυσμῶν, καὶ βορρᾶ, καὶ θαλάσσης, καὶ ἐῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πατὴρ παντοκράτωρ, καὶ Λόγε, καὶ Πνεῦμα, τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καταβασία. Αὕτη ἡ κλητή. Ἐκφώνησις. Ὅτι κυλόγηται.

Εἶτα ἐκφωνεῖ ὁ Διάκονος. Τὴν Θεοτόκον καὶ Μητέρα κτλ.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

» Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ· ἡ γὰρ δόξα Κυ- » ρίου, ἐπὶ σὲ ἀνέτειλε. Χόρευε νῦν, καὶ ἀγάλλου, Σιών· σὺ δὲ » ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου».

Ὦ θείας! ὦ φίλης! ὦ γλυκυτάτης σου φωνῆς, μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος, Χριστέ· ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὦ Πάσχα τὸ μέγα, καὶ ἱερώτατον Χριστέ! ὦ σοφία, καὶ Λόγε τοῦ Θεοῦ καὶ δύναμις! δίδου ἡμῖν ἐκτυπωτέρως, σοῦ μεσχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς βασιλείας σου.

Καταβασία. Φωτίζου, φωτίζου. Ἐκφώνησις. Ὅτι σὲ αἰνοῦσι.

Ἐξαποστειλάριον Ἦχος β'.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον. Πάσχα τῆς ἀφθαρσίας τοῦ κόσμου σωτήριον. Ἐκ γ'.

Εἰς τοὺς Αἴνους, ψάλλομεν στιχ. Ἀναστάσιμα τῆς Ὀκτωήχου δ'. καὶ τὰ Πάσχα ἱερὸν, εἰς δ'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦχος α'.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν, Κύριε, ὡς μόνος παντοδύναμος.

Ὁ τὸν Ἅδην σκηλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου, Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. Ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. Ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας σταυρόν. Ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν κόσμον. Κύριε, δόξα σοι.

Εἶτα τὰ Στιχηρὰ τοῦ Πάσχα μετὰ τῶν Στίχων. Ἦχος πλ. ά.

Στίχ. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται· Πάσχα καινὸν, Ἅγιον· Πάσχα μυστικόν· Πάσχα πανσεβάσμιον· Πάσχα Χριστὸς ὁ λυτρωτής· Πάσχα ἄμωμον· Πάσχα μέγα· Πάσχα τῶν πιστῶν· Πάσχα, τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν· Πάσχα, πάντας ἁγιάζον πιστούς.

Στίχ. Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν.

Δεῦτε ἀπὸ θέας Γυναῖκες εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· Δέχου παρ' ἡμῶν χαρᾶς εὐαγγέλια τῆς Ἀναστάσεως Χριστοῦ· τέρπου, χόρευε, καὶ ἀγάλλου Ἱερουσαλὴμ, τὸν Βασιλέα Χριστὸν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς νυμφίον προερχόμενον.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου, εὗρον Ἄγγελον, ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ὡς ἐν φθορᾷ; ἀπελθοῦσαι κηρύξατε, τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν.

Πάσχα τὸ τερπνόν. Πάσχα Κυρίου Πάσχα· Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε· Πάσχα, ἐν χαρᾷ ἀλλήλους περιπτυξώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεθα· ὦ Πάσχα λύτρον λύπης· καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ, ἐκλάμψας Χριστὸς, τὰ Γύναια χαρᾶς ἔπλησε λέγων· Κηρύξατε Ἀποστόλοις.

Δόξα, καὶ νῦν. Ἦχος πλ. ά.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. Εἴπωμεν ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς· Συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἶτα τὸ, Χριστὸς ἀνέστη. Ἐκ γ'.

Καὶ καθεξῆς, ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου.

Εἰσοδικόν

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν, Κύριον ἐκ πηγῶν Ἰσραήλ·

Εἶτα, Χριστὸς ἀνέστη. ἐκ γ'. ἡ Ὑπακοὴ Προλαβοῦσαι **322**.

Τὸ Κοντάκιον. Εἰ καὶ ἐν τάφῳ. Σελ. 323 Ἀντὶ δὲ τοῦ Τριγίου τὸ, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε. κτλ.

Τὸν Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον, ζήτει σελὶς, 7—8.

Εἰς τὸ Ἐξαιρέτως. Ὁ Ἄγγελος ἐβόα· Φωτίζου. Σελ. 325.

Κοινωνικόν. Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. Ἀντὶ δὲ τοῦ, Εἴη τὸ ὄνομα Κυρίου, Χριστὸς ἀνέστη.

Εἶτα ἡ παροῦσα εὐχὴ Ἰωάννου τοῦ Χρισοστόμου

Εἴτις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης καὶ λαμπρᾶς πανηγύρεως. Εἴτις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ κυρίου αὐτοῦ. Εἴτις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴτις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴτις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴτις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴτις ὑστέρησεν εἰς τὴν ἐνάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴτις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον. Ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης. Καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει. Κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται. Καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται. Καὶ τὴν πρᾶξιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν· καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ' ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥᾳθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύσατε τοῦ συμποσίου τῆς πίστεως. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ Σωτῆρος ὁ θανατος. Ἔσβεσεν αὐτὸν, ὑπ' αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν Ἅδην, ὁ κατελθὼν εἰς τὸν Ἅδην. Ἐπικρανεν αὐτὸν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ· καὶ τοῦτο προλαβὼν Ἡσαΐας, ἐβόησεν. Ὁ Ἅδης, φησὶν, ἐπικράνθη, συναντήσας σοι κάτω. Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γαρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν οὐρανῷ. Ἔλαβεν, ὅπερ ἔβλεπε, καὶ πέπτωκεν, ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; Ποῦ σου, Ἅδη, τὸ νίκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες· Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπι μνήματος. Χριστὸς, γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δοξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλομεν τὸ Τροπάριον τοῦ Ἁγίου Ἦχος πλ. δ'.

Ἡ τοῦ στόματος σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ κόσμῳ θησαυροὺς ἐναπέθετο· τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλὰ σοῖς λόγοις παιδεύων, Πατερ Ἰωάννη Χρισοστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις.

ΤΕΛΟΣ ΤΩΝ ΑΚΟΛΟΥΘΙΩΝ ΤΗΣ ΑΓ. ΚΑΙ Μ. ΕΒΔΟΜΑΔΟΣ ΚΑΙ ΤΗΣ ΛΑΜΠΡΟΦΟΡΟΥ ΤΗΣ ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΕΩΣ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝΟΛΟΓΙΟΝ

ΠΕΡΙΕΧΟΝ ΑΠΟΣΤΟΛΟΥΣ ΟΡΘΡΟΥ
ΚΑΙ ΛΕΙΤΟΥΡΓΙΑΣ ΕΥΑΓΓΕΛΙΑ
ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ
ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ.

ΜΕΤΑ ΤΩΝ ΤΥΠΙΚΩΝ ΔΙΑΤΑΞΕΩΝ
ΤΗΣ ΑΓΙΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝΟΛΟΓΙΟΝ
ΜΗΝ
ΣΕΠΤΕΜΒΡΙΟΣ

Ἔχων ἡμέρας 30 ἡ ἡμέρα ἔχει ὥρας 12, καὶ ἡ νὺξ 12.

(*) 1 — Ἀρχὴ τῆς Ἰνδίκτου τοῦ νέου ἔτους. Ὁσίου Συμεὼν τοῦ Στυλίτου. Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν· ἁγίων Μαρτύρ. Ἀειθαλᾶ, Καλλίστης, Εὐόδου, καὶ Ἑρμογένους, τῶν αὐταδέλφων. Ἀμμοῦν, Διακόνου. Ἰησοῦ τοῦ Ναυῆ. Ὁσίας Μάρθας μητρὸς τοῦ Ὁσίου Συμεών. Ὁσίας Εὐανθίας Καὶ 40 γυναικῶν Παρθένων καὶ Ἀσκητριῶν.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.
Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθός.

Πρὸς Τιμόθεον Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. Β'. 1—7.

Τέκνον Τιμόθεε, παρακαλῶ πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων· ὑπὲρ βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἥρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ Θεὸς, εἷς καὶ μεσίτης

(*) Εἰ τύχοι ἐν Κυριακῇ Ἑωθινὸν Εὐαγγελ. ὅρα ὄπισθεν ἐν τοῖς Πασχαλίοις τοῦ τρέχοντ. ἔτους ἀπός. καὶ Εὐαγ. τῆς Ἰνδίκτου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις· εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ Ἀπόστολος, (ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι·) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

Εὐαγγέλιον Λειτουργίας τῆς Ἰνδίκτου.

Ἐκ τοῦ κατὰ Λουκᾶν

Κεφ. Β'. 16—22.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρὲτ, οὗ ἦν τεθραμμένος· καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, εἰς τὴν Συναγωγήν· καὶ ἀνέστη ἀναγνῶναι. Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ Προφήτου· καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον. «Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν». Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων ἐν τῇ Συναγωγῇ οἱ ὀφθαλμοὶ ἦταν ἀτενίζοντες αὐτῷ. Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς. Ὅτι σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. Καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

2 — Ἁγ. Μαρτύρ. Μάμαντος, Μελάνιππος, Ἰουλιανός, Φίλιππος, Εὐτυχιανός, Ἡσύχιος, Λεωνίδας, Εὐτύχιος, Φιλάδελφος, καὶ Διομήδους· ἁγίου. Ἰωάννου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νηστευτοῦ. ἁγ. Ἱερέων Ἐλεαζάρου, Φινεές, καὶ Παρθαγάπης.

3 — Ἁγ. Ἱερ. Ἀνθίμου ἐπισκ. Νικομηδείας. Ὁσ. Θεοκτίστου Ζήνωνος, Ἀριστίων Ἐπισκ. Ἀλεξανδρείας ἁγία Βασίλισσα.

Ἀπόστολος. Προκείμενον, Ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων.

Ἀδελφοί, μνημονεύετε. Ὥρα 18 Ἰανουαρίου.

Εὐαγγέλ. Εἶπεν ὁ Κύρ. Πάντα μοι παρεδόθη. 5 Δεκεμβρίου.

4 — Ἁγ. Ἱερομάρτ. Βαβύλα Ἐπισκόπ. Ἀντιοχείας. Προφ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μωϋσέως· ἁγίας Ἑρμιόνης θυγατρὸς Φιλίππου τοῦ Ἀποστόλου ἁγ. Μαρτυρ. Θεοτίμου, Θεοδούλου, Κεντυρίωνος, Θεοδώρου, Ἀμιανοῦ, Ἰουλιανοῦ, Πετρωνίου, Σαρβήλου, Θαθουήλ, Χαριτίνης, Βεβαίας καὶ τρισχιλίων ἑξακοσίων εἰκοσιοκτὼ μαρτύρων.

5 — Ἁγ. Προφήτου Ζαχαρίου Πατρὸς τοῦ Προδρόμου ἁγίων Μαρτύρ. Ἀββαΐου, Ῥαΐδος, Μεδίμνου, Οὐρβανοῦ, Θεοδώρου, Πέτρου τοῦ ἐν Ἀθήρᾳ, καὶ 80 Ἱερέων καὶ Διακόνων.

6 — Ἡ ἀνάμνησις τοῦ γενομένου θαύματος ἐν Χώναις παρὰ τοῦ Ἀρχιστρατήγου Μιχαήλ. Ἁγ. Μαρτύρ. Εὐδοξίου, Ζήνωνος, Ῥωμύλου, Μακαρίου, Φαύστου, Ἀνδρέου, Βίβου, Κυριακοῦ, Διονυσίου, Ἀνδρονίκου, Θεοκτίστου, Ναυκλήρου, Ἀνδροπελαγίας, Καλοδότης, καὶ Θέκλας.

Ἀπόστολον καὶ Εὐαγγέλιον. Ὥρα εἰς τὰς 8. Νοεμβρίου.

7 — Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπερ. Θεοτόκου. Σώζοντος Μάρ. Ὁσίου Λουκᾶ ἁγίων Ἀποστόλ. Εὐόδου, καὶ Ὀνησιφόρου·

(*) 8 — Τὸ Γενέθλιον τῆς Ὑπεραγ. Θεοτόκου. Ἁγίων Μαρ. Ἀρτεμιδώρου, Σεβήρου, Ῥούφου, καὶ Ῥουφιανοῦ, τῶν αὐταδέλφ.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Α΄. 39-49.)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ, αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου.

(*) Εἰ τύχ. ἡ 7 ἡ 9 - 12 ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ, Ἀπόστολ. καὶ Εὐαγ. ὡς ἀνωτέρω.

(*) Εἰ τυχ. ἡ 8 ἐν Κυριακῇ. Εὐαγγέλιον τοῦ Ὀρθρου τῆς Θεοτόκου. Ἀπόστολ. καὶ Εὐαγ. Κυριακῇ πρὸ τῆς Ὑψώσ. Σελ. 336.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ μακαρία ἡ πεστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός· καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Ἀπόστολος. Προκείμενον, ἦχος γ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον. ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β'. 5—11.

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν Θεοῦ Πατρός.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν

Κεφ. Ι'. 38—42 ΙΑ'. 27—28.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά· γυνὴ δέ τις, ὀνόματι Μάρθα, ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇ δὲ ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τῶν λόγων αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μὴ συναντιλάβηται. Ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τυρβάζῃ περὶ πολλὰ, ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου, εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε· Μενοῦν γε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

9 — Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· ἁγίων μαρτύρ. Σεβηριανοῦ, Χαρίτωνος, καὶ Θεοφάνους.

Ἀπόστολος. Προκείμενον, Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν. Ὥρα 23 Σεπτεμβρίου.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος Οὐδεὶς λύχνον ἅψας. Σελίς 131

10 — Ἁγίων Μαρτύρ. Μηνοδώρας Μητροδώρας, καὶ Νυμφοδώρας Πουλχερίας ἡ Βασίλισσα, ἁγίων Ἀποστόλων· Ἀπελλοῦς, Λουκᾶ, Κλήμεντος· καὶ τῆς ἁγίας Ἴας ἁγ. Βαριψαβᾶ.

11 — Ἁγίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ· ἁγίων Διοδώρου, Διομήδους, Διδύμου καὶ Εὐφροσύνου τοῦ μαγείρου.

12 — Ἁγ. Μαρτ. Αὐτονόμου, Κουρνούτου, Θεοδώρου, Ἰουλιανοῦ, Μακεδονίου, Τατιανοῦ, Θεοδούλου, Δανιὴλ, καὶ Ὠκεανοῦ.

(*) 13 - Προεόρτια τῆς ὑψώσεως τοῦ τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ καὶ τῶν Ἐγκαινίων τοῦ ναοῦ τῆς ἁγίας τοῦ Χριστοῦ Ἀναστάσεως· ἁγ. Μαρτύρ. Κρονίδου, Λεοντίου, Σεραπίωνος, Στράτωνος, Σελεύκου, Μακροβίου, Γορδιανοῦ, Ζωτικοῦ, Ἡλεὶ, Λουκιανοῦ, Οὐαλεριανοῦ, καὶ Κορνηλίου τοῦ Ἑκατοντάρχου.

Σαββάτῳ πρὸ τῆς ὑψώσεως Ἀπόστολος.

Ψάλλατε τῷ Θεῷ ὑμῶν ψάλλατε. Πάντα τὰ ἔθνη κροτήσατε χείρας. Ἀδελφοί, σοφίαν λαλοῦμεν Ὥρα Σελ. 100.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος ὁ φιλῶν πατέρα. Ὥρα Σελ. 83.

(*) Εἰ τύχ. ἡ 13 ἐν Σαββάτῳ, Ἀπόστολ. ἀνάγνωθι Σαβ. πρὸ τῆς Ὑψώσεως, καὶ Εὐαγ. τῶν Ἐγκαινίων ὅρας 29 Ἰουνίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυριακῇ πρὸ τῆς Ὑψώσεως

Ἀπόστολος, Προκείμενον ἦχος πλ. β'.

Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σὲ Κύριε κεκράξομαι, ὁ Θεός μου.

Ἀδελφοὶ ἴδετε πηλίκοις ὑμῖν Ὥρα. ΚΒ. Κυριακῇ. Σελ. 129.

Εὐαγγέλιον Κυριακῇ πρὸ τῆς Ὑψώσεως

Ἐκ τοῦ κατὰ Ἰωάννην Γ'. 13-17.

Εἶπεν ὁ Κύριος· Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰμὶ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ. Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου· ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν Κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

(**) 14 — Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ. Ἡ κοίμησις Ἰωάννου τοῦ Χρυσοστόμου· ἐν ταύτῃ γὰρ ἀνεπαύσατο ἀλλὰ διὰ τὴν ἑορτὴν τοῦ τιμίου Σταυροῦ μετετέθη εἰς τὰς 13 Νοεμβρίου· καὶ μνήμη τῆς εὐσεβεστάτης Βασιλίσσης Πλακίλλης συζύγου τοῦ μεγάλου Θεοδοσίου τοῦ Βασιλέως. ἁγ. μαρτύρ. Πάπα, Θεοκλῆς, καὶ Βαλεριανός.

Εἰς τὸν Ὄρθρον Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ΙΒ'. 28-36.

Εἶπεν ὁ Κύριος· Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ Οὐρανοῦ· «Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω». Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. Ἄλλοι ἔλεγον· Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι'

(*) Εἰ τύχ. ἐν Κυρ. Ὄρθρ. Εὐαγ. Ἀπός. καὶ Εὐαγ. τοῦ Σταυροῦ

(*) Ἐν δὲ τῇ Τραπέζῃ ζηροφαγία· ἐὰν δὲ συμπέσῃ Σαββάτῳ ἢ Κυρ. καταλύωμεν ἔλαιον καὶ οἶνον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμᾶς· Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· καγὼ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. (Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν). Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος. Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Α΄. 18—25.

Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω». Ποῦ σοφός; Ποῦ γραμματεύς; Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος, σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν

Εἰς τὴν Λειτουργίαν.

Ἐκ τοῦ κατὰ Ἰωάννην ΙΘ΄. 6

Τῷ καιρῷ ἐκείνῳ, συμβούλιον ἐποίησαν οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. Καὶ παρεγένοντο πρὸς Πιλάτον, λέγοντες· Σταύρωσον σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν τοῦ Θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη· καὶ εἰσῆλθεν εἰς τὸ Πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν. Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθησεν ἐπὶ τοῦ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ. Ἦν δὲ Παρασκευὴ τοῦ Πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ Βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν· Ἆρον, ἆρον, σταύρωσον αὐτόν· Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν Βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ Ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα, εἰμὴ Καίσαρα. Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον. Καὶ βαστάζων τὸν Σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ· ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ Σταυροῦ. Ἦν δὲ γεγραμμένον· «Ἰησοῦς ὁ Ναζωραῖος, ὁ Βασιλεὺς τῶν Ἰουδαίων». Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστὶ, Ἑλληνιστὶ, Ῥωμαϊστί. Εἱστήκεισαν δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἰδοὺ ὁ Υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς, ὅτι πάντα ἤδη τετέλεσται, κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σαββάτῳ μετὰ τὴν Ὕψωσιν.

Ἀπόστολον. ζήτει τῷ Σαββάτῳ τῆς ΙΒ Ἑβδομάδος.

Ἀδελφοί, βλέπετε τὴν κλῆσιν. ὅρα Σελὶς 97

Εὐαγγέλιον Σαββάτῳ μετὰ τὴν Ὕψωσιν.

Ἐκ τοῦ κατὰ Ἰωάννην Η'. 21—29.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἐγὼ ὑπάγω, καὶ ζητήσατέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι· Μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει. Ὅπου ἐγὼ ὑπάγω ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; καὶ εἶπεν αὐτοῖς· ὑμεῖς. ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. Εἶπον οὖν ὑμῖν, ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν Ἔλεγον οὖν αὐτῷ· Σὺ τίς εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· Τὴν ἀρχὴν ὅ,τι καὶ λαλῶ ὑμῖν. Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν, καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστι· κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λαλῶ εἰς τὸν κόσμον· Οὐκ ἔγνωσαν ὅτι τὸν Πατέρα αὐτοῖς ἔλεγεν. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ Πατήρ μου, ταῦτα λαλῶ. Καὶ ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ με μόνον ὁ Πατήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε Ταῦτα αὐτοῦ λαλοῦντος, πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

Κυριακὴ μετὰ τὴν Ὕψωσιν.

Ἀπόστολος.

Ἀδελφοί, εἰδότες ὅτι οὐ δικαιοῦται. Ὅρα. Σελίς. 125.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν. Σελ. 184.

(*) 15 — Ἁγ. Μεγαλομ. Νικήτα· Φιλοθέου, Πορφυρίου, Μαξί-

(*) ἀπὸ τὰς 15-21 Σεπτεμβρ Εἰ τύχωσι ἐν Σαβ. ἢ ἐν Κυρ. Ἀπός καὶ Εὐαγ. Σαβ. μετὰ τὴν Ὕψωσιν ἢ Κυρ μετὰ τὴν Ὕψωσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μου, καὶ ἡ εὕρεσις τῶν λειψάνων ἁγ. Στεφάνου καὶ Ἀκακίου.

16 — Ἁγίας Μεγαλομ. Ἐφημίας, καὶ Μελιτινῆς.

Ἀ π ό σ τ ο λ ο ς.

Ἀδελφοί, συνεργοῦντες παρακαλοῦμεν. Ὥρα ΙΣ'. Κυριακῇ Σελίς. 110.

Ε ὐ α γ γ έ λ ι ο ν.

Τῷ καιρῷ ἐκείνῳ ἠρώτα τις. Ὥρα 11 Ἰουλίου.

17 — Σοφίας Μάρτυρος, καὶ τριῶν θυγατέρων αὐτῆς Πίστεως, Ἀγάπης, καὶ Ἐλπίδος· ἁγ. γυναικῶν Ἀγαθοκλείας, Λουκίας, καὶ Θεοδότης· ἁγ. μαρτ Μαξίμου, Θεοδότου, Ἀσκληπιοδότου, Ἡρακλείδου, Γεμινιανοῦ, Παρτεμουθίου, Παντολέοντος, Μύρωνος, Χαραλάμπους ἁγ. Πιλέα καὶ Νίλου ἐπισκόπους.

18 — Εὐγενίου Ἐπισκόπου, καὶ Κάστορος· ἁγίας Σοφίας Εἰρήνης, καὶ Ἀριάδνης.

19 — Ἁγ. Μαρτύρ. Τροφίμου, Σαββατίου καὶ Δορυμέδοντος.

20 — Εὐσταθίου Μεγαλομάρτ. μετὰ τῆς Συμβίας αὐτοῦ Θεοπίστης καὶ τῶν δύο υἱῶν αὐτῶν Ἀγαπίου καὶ Θεοπίστου· ἁγίων Ἀνδρέου, Ὑπατίου, Μαρτίνου, Μαξίμου Ἀρτεμιδώρου, Θαλοῦ, Μελετίου, καὶ Ἰωάννου, τοῦ Αἰγυπτίου.

21 — Ἀπόδοσις τοῦ τιμίου Σταυροῦ. Ἁγ. Ἀποστόλ. Κοδράτου· Προφήτου Ἰωνᾶ ἁγμαρτύρ. Εὐσεβίου, Νεστάβου, καὶ Ζήνωνος τῶν αὐταδέλφων ὁσίου Σαββᾶτου· Μελετίου, καὶ Ἰσακίου Ἐπισκόπων Κύπρου. Καὶ τοῦ ἁγίου Πρίσκου.

22 — Ἁγ. Ἱερομαρτ. Φωκᾶ· ἁγ. Μαρτύρ. Ἰσαὰκ, Μαρτίνου καὶ Φωκᾶ τοῦ Κηπουροῦ·

(*) 23 — Ἡ Σύλληψις προφ. Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου. ἁγ. μαρτύρ. Ἀνδρέου, Ἰωάννου, Πέτρου, Ἀντωνίου· ἁγίων γυναικῶν· Ξανθίππης, Πολυξένης, καὶ Ῥαΐδος τῆς Παρθένου.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἑωθινὸν Εὐαγ. καὶ Λειτουργίας Εὐαγ ὅρα εἰς τὸ Πασχάλιον τοῦ τρέχοντος ἔτους Ἀπὸς. δὲ τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος. Προκείμενο , ἦχος βαρύς.

Ἐφρανθήσεται δίκαιος ἐν Κυρίῳ, Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ. 22 — 27.

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα· αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. Τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Γέγραπται γάρ, Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Εὐαγγέλιον. Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν Α'. 5 — 25.

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων, Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Καὶ ἔσται χαρά σοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοὺ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος εἶπεν αὐτῷ. Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ Ναῷ. Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ Ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς καὶ διέμεινε κωφός. Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

(*) 24 — ἁγίας μεγαλ. καὶ ἰσαποστόλου Θέκλης, ὁσ. Κοπρίου.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Τέκνον Τιμόθεε παρηκολούθηκάς μου. ὅρα 33 Κυρ. Σελ. 160

Εὐαγγέλιον. Ματθαίου.

Εἶπεν ὁ Κύριος τὴν παραβ. ὡμοιώθη. ὅρα τῷ 17. Σαβ σελ 113

25 — Τῆς ἁγίας Εὐφροσύνης θυγατρὸς Παφνουτίου τοῦ Αἰ-

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τῆς ἁγίας καὶ Εὐαγ. τῆς Κυρ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γυπτίου καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου σεισμοῦ ἐν ᾗ τελεῖται καὶ ἡ ἐν τῷ ἀέρι ἁρπαγὴ τοῦ παιδός. ἁγ. μαρτ. Παύλου καὶ Τάττης μετὰ τῶν τέκνων αὐτῶν. Σαβινιανοῦ, Μαξίμου, Ρούφου, Εὐγενίου.

(*) 26 — Ἡ Μετάστασις τοῦ ἁγ. ἐν δόξου καὶ πανευφήμου Ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ.

Εἰς τὸν Ὄρθρον. (Ἀνάγνωθι τὸ ΙΑ! ἐωθινὸν εὐαγ. Σελ. 60)

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δοξαν Θεοῦ.

Καθολικῆς Α! Ἐπιστολῆς Ἰωάννου τὸ ἀνάγνωσμα. (Δ'. 12-19)

Θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν αὐτοῦ Σωτῆρα, τοῦ κόσμου. Ὃς ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ὑμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν τῷ κόσμῳ τούτῳ. Φόβος οὐκ ἐστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον· ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτόν ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην Ιθ. 25-27.

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ἰησοῦς

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολ. καὶ Εὐαγγέλιον τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρί αὐτοῦ· Γύναι, ἰδοὺ ὁ υἱός σου· Εἶτα λέγει τῷ Μαθητῇ· Ἰδοὺ ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Οὗτός ἐστιν ὁ Μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησε ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

27 — Τῶν ἁγίων Μαρτ. Καλλιστράτου Φιλήμονος, Φουρτουνιανοῦ, ὁσ. Ἰγνατίου Ἡγουμένου τῆς Μονῆς Βαθέος Ρύακος ἁγ. Ἀποστόλων. Ζήνωνος. Μάρκου, καὶ Ἀριστάρχου. ἁγ. γυναικῶν Γαϊανῆς, καὶ Ἐπιχάρεως.

28 — Τοῦ ὁσίου καὶ ὁμολογητοῦ Χαρίτωνος· προφ. Βαρούχ· ἁγ. μαρτ. καὶ αὐταδέλφων Ἀλεξάνδρου, Ἀλφειοῦ, Ζωσίμου. Μάρκου τοῦ ποιμένος, Νίκωνος, Ἡλιοδώρου, Νέωνος, καὶ Εὐσταθίου υἱοῦ Ῥωμαίου.

Ἀπόστολος. Προκείμενον, Ἦχος βαρύς.

Καυχήσωνται ὅσοι ἐν δόξῃ Ἄσατε τῷ Κυρίῳ ἆσμα κενόν.

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπών. ὅρα ΙΕ. Κυριακῇ Σελ. 108.

Εὐαγ. Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς. ὅρα εἰς τὰς 6 Δεκεμ.

29 — Κυριακοῦ τοῦ ἀναχωρητοῦ ἁγίων. Μαρτ. Τρύφωνος Τροφίμου, Κασδόου, Κασδόας, Γουδελίασνίας. καὶ Πετρωνίας, γάίων Δάδα καὶ Γοδδελαᾶ.

30 — Ἁγ. Ἱερομ. Γρηγορίου τῆς Μεγάλ Ἀρμενίας ἁγ. Μαρ. Στρατονίκου, Μαρδονίου· ἁγ. γυναικῶν Ριψιμίας, καὶ Γαϊανῆς· καὶ ἑτέρων 1032 Μαρτύρων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ
ΟΚΤΩΒΙΟΣ

Ἔχων ἡμέρας 31 ἡ ἡμέρα ἔχει ὥρας 11 καὶ ἡ νὺξ ὥρας 13.

1 — Ἁγίου ἀποστόλου Ἀνανίου· ἁγίων Δομνίνου, Μιχαὴλ μετὰ 36 μοναχῶν μαρτυρησάντων ἐν Σεβαστουπόλει· ὁσίου Ρωμανοῦ τοῦ Μελῳδοῦ. Ἰωάννου Ἱεροψάλτου ὁ καλούμενος Κουκουζέλης, καὶ Γρηγόριος ὁ Δομέστικος ὁ ἀσκήσας ἐν τῇ Λαύρᾳ τοῦ Ἄθω καὶ ἓν χρυσοῦν νόμισμα παρὰ τῆς Θεοτόκου λαβών.

2 — Κυπριανοῦ ἱερομάρτυρος καὶ Ἰουστίνης τῆς Παρθένου, ὁσίου Θεοφίλου, καὶ Γεωργίου τοῦ νεομάρτυρος.

3 — Διονυσίου τοῦ Ἀρεοπαγίτου, καὶ Διονυσίου ἱερομάρτυρ. ἁγίων μαρτ. Θεοκτίστου, Θεαγένους, Θεοτέκνου, Αὐδάκτου, Ἐλευθερίου, καὶ Ἰωάννου τοῦ Χοζεβίτου, ἐπισκόπ. Καισαρείας.

4 — Ἁγίου Ἱεροθέου ἐπισκόπ. Ἀθηνῶν. ἁγ. Πέτρου, Αὐδάκτου, καὶ Καλλισθένης τῆς θυγατρὸς αὐτοῦ. Εὐσεβίου, Φαύστου, Γαΐου, καὶ Χαιρήμονος τῶν Διακόνων· ἁγίας μάρτ. Δομνίκης, μετὰ τῶν θυγατέρων αὐτῆς Βερίνης, καὶ Προσδόκης. ὁσίου. Ἀμμοῦν τοῦ Αἰγυπτίου.

5 — Ἁγίας μαρτ. Χαριτίνης, καὶ Μαμέλχθης· ὁσ. Κοσμᾶ.

6 — Ἁγίου ἀποστόλου Θωμᾶ· ἁγίας Ἑρωτηΐδος· καὶ Μακάριος ὁ νεομάρτυς.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους. Ὅρα Κυρ Ι'. Σελ. 92.

Εὐαγγέλιον.

Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ. ὥρα Θ'. Ἑωθινόν. Σελίς. 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 — Ἁγ. μαρτ. Σεργίου, Βάκχου, Ἰουλιανοῦ, Λεοντίου, Καισαρίου διακόνου, Φήλικος, Εὐσεβίου, καὶ ἱερομάρ Πολυχρονίου.

8 — Ὁσ. Πελαγίας, Πελαγίας μάρτ. καὶ Ταϊσίας τῆς πόρνης.

9 — Ἁγίου ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου· ὁσίου Ἀνδρονίκου, καὶ Ἀθανασίας τῆς συμβίου αὐτοῦ· ἁγίας Ποπλίας· ὁσίων Πέτρου, Δωροθέου ἐπισκ. Τύρου· καὶ τοῦ δικαίου Ἀβραὰμ μετὰ τοῦ ἀνεψιοῦ αὐτοῦ Λώτ.

10 — Ἁγίων μαρτ. Εὐλαμπίου, καὶ Εὐλαμπίας· ὁσίων Θεοφίλου, Βασιανοῦ, καὶ ἑτέρων 200 μαρτύρων.

11 — Ἁγίου ἀποστόλου Φιλίππου ἑνὸς τῶν 7 Διακόνων· ὁσίου Θεοφάνους Μητροπολίτου Νικαίας· ἀδελφοῦ Θεοδώρου τοῦ Γραπτοῦ· ἁγίων Πατριαρχῶν Κωνσταντινουπολεως Νεκταρίου, Ἀρσακίου, καὶ Σισινίου· ἁγίας Ζηναΐδος, καὶ Φιλονίλλας.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ

Εἴδησις.

Κατὰ τὴν 11 τοῦ παρόντος Μηνὸς εἰ τύχοι ἐν Κυριακῇ ἦ, τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ, μέχρι τῆς 17 ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων τριακοσίων πεντήκοντα Θεοφόρων, Πατέρων, τῶν εἰς τὴν Οἰκουμενικὴν Ἑβδόμην Σύνοδον συνελθόντων τὸ δεύτερον· ἐν ἔτει 787, ἐπὶ τῶν εὐσεβῶν καὶ φιλοχρίστων Βασιλέων, Εἰρήνης, καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, κατὰ τῶν δυσσεβῶς, καὶ ἀμαθῶς, καὶ ἀπερισκέπτως τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων, καὶ τὰς σεπτὰς καὶ ἁγίας Εἰκόνας καταβαλόντων.

Ἑωθ. Εὐαγ. ὅρα ὄπισθεν ἐν τοῖς Πασχαλίοις τοῦ τρέχον. ἔτους.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ'. 8—15.

Τέκνον Τίτε, πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλὰ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέςραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ, ἢ Τυχικον, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κεκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετα πάντων ὑμῶν. Ἀμήν.

Εὐαγγέλιον Λειτουργίας.

Εἶχεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ἐξῆλθεν ὁ σπείρων. Ὥρα Δ'. Κυριακῇ Λουκᾶ. Σελίς. 126.

12 — Ἁγίων μαρτ. Προβου, Ταράχου, Ἀνδρονίκου, Ἀνδρομάχου, Διοδώρου, Θεοδοτου, Μαξίμου, Ἰάσων, Ἰουβεντῖνος· Δομνίκης, Μαλφεθᾶς, Ἀνθίας, καὶ Ἀναστασίας τῆς Παρθένου.

Ἀπόστολος

Ἀδελφοὶ, ἐνδυναμοῦσθε. Ὥρα ΚΖ'. Κυριακῇ. Σελὶς 143.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος Προσέχετε ἀπὸ τῶν ἀνθρώπων. ὥρα 9 Φεβρουαρίου

13 — Ἁγίων μαρτύρ. Κάρπου, Παπύλου, Ἀγαθοδώρου, Ἀγαθονίκης, Φλωρεντίου, Διοσκορου, Ἀντιγόνου, Βενιαμὴν διακόνου, ὁσίου Νικήτα, Πατρικίου. Ἡ ἁγία νεομάρτυς Χρυσῆ, ἡ μεληδὸν κατακοπεῖσα ἔν τινι χωρίῳ τῆς ἐπαρχίας Μογλενῶν· ὀνομαζομενον Σλάτενα.

14 — Ἁγίων μαρτύρων Γερβασίου, Ναζαρίου, Προτασίου, Κελσίου, Σιλβανοῦ, Πέτρου τοῦ Αὐσελάμου, Εὐθύμιος ὁ ἐν Θεσσαλονίκῃ, ὁσίου Κοσμᾶ τοῦ Ποιητοῦ, ἐπισκόπου· Μαϊουμᾶ τοῦ Ἁγιοπολίτου, καὶ ἁγίας Παρασκευῆς τῆς νέας.

15 — Ἁγ. μαρτύρων Λουκιανοῦ Πρεσβυτέρου Ἀντιοχείας τῆς μεγάλης· ὁσίου Σαβίνου ἐπισκόπ· καὶ Βάρσου ἐπισκόπου ἐδέσσης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

16 — Ἁγ. μαρτύρ. Λογγίνου τοῦ Ἑκατοντάρχου, τοῦ ἐπὶ τοῦ Σταυροῦ. Λεοντίου, Τερεντίου, Δομνίνου, Μαλοῦ, καὶ Σαβίνου.

Ἀ π ό σ τ ο λ ο ς

Τέκνον Τιμόθεε. ἐνδυναμοῦ. Ὥρα 26 Ὀκτωβρίου. Σελ. 351.

Ε ὐ α γ γ έ λ ι ο ν .

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντες οἱ στρατιῶται. ὥρα Σελίς, 271.

17 — Ἁγίου προφήτου Ὡσηέ· ὁσίου Ἀνδρέου τοῦ ἐν Κρίσει ἁγ. μαρτ. καὶ αὐταδέλφ Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ, Λεοντίου, Ἀνθίμου, Εὐπρεπίου, καὶ ἡ ἀνακομιδὴ τοῦ τιμίου λειψάνου τοῦ δικαίου λαζάρου.

(*) 18 — Ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ· ἁγίων μαρτ. Μαρίνου Γαβριὴλ, Κυρμιδώλη, ὁσίου Ἰουλιανοῦ, τοῦ ἐν τῷ Εὐφράτῃ, καὶ τοῦ ἁγίου Μνάσωνος Ἐπισκόπου Κύπρου.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Δ'. 5—18.

Ἀδελφοί, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν· καὶ Ἰησοῦς ὁ λεγόμενος, Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. Ἀσπάζεται ὑμᾶς

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολος καὶ Εὐαγγέλ. τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν. Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ ἀναγνωσθῇ· καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ. Βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν.

Εὐαγγέλιον Λειτουργίας.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει. ὅρα εἰς τὰς 8 Νοεμβρίου. Σελὶς 356.

19 — Ἁγίου προφήτου Ἰωήλ· ἁγ. μαρτύρ. Οὐάρου, Λεοντίου τοῦ Φιλοσόφου· ἁγ. ἱερομ. Σαδὼθ μετὰ 120 μαρτύρων ἐν Περσίδι τελειωθέντων· οἱ ἅγιοι Φῆλιξ, Εὐσέβιος, καὶ Ἰωάννης.

(*) 20 — Ἁγίου μεγαλομάρτ. Ἀρτεμίου, ὁσίου Γερασίμου τοῦ νέου ἀσκητοῦ ἐν Κεφαλληνίᾳ. Τῆς ἁγίας Ματρώνης τῆς Χιοπολίτιδος· οἱ ἅγ. Ζεβινᾶς, Γερμανὸς, Νικηφόρος, Ἀντωνῖνος, Εὐνόης, Ἑβόρης, καὶ Μαναθὼ ἡ Παρθένος.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ὅρα 6 Δεκεμβρίου.

Ἀπόστολος

Καυχήσωνται ὅσιοι ἐν δόξῃ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν. Ἀδελφοί, ὁ Καρπὸς τοῦ Πνεύματος. ὅρα Σαβ. 27 Σελ. 142.

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύριος Πάντα μοι παρεδόθη. ὅρα 5 Δεκεμβρίου.

21 — Ἱλαρίωνος τοῦ μεγάλου Ἀνδρέου, Στεφάνου, Ἄζης, Παύλου, Πέτρου, Γαΐου, Δασίου, Ζωτικοῦ, Σωκράτους, καὶ Εὐκράτης· ὁσίων Φιλοθέου, Βαρουχ, Ζαχαρίου, ἁγίας Θεοδότης.

Ἀπόστολος

Ἀδελφοί, ὁ σπείρων φειδομένως. ὅρα 18 Κυριακῇ Σελὶς 117.

Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς. ὅρα 6 Δεκεμβρίου.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τοῦ ὁσίου Εὐαγ. τῆς Κυριακῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

22 — Ἀβερκίου Ἐπισκόπου Ἱεραπόλεως· ἁγ. 7 Παίδων τῶν ἐν Ἐφέσῳ, Μαξιμιλιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἀντωνίου, Ἐξακουστωδιανοῦ, Κωνσταντίνου· Ἀλεξάνδρου ἐπισκ. Ζαχαρίου, Ἡρακλείου, Ἄννης, Ἐλισάβετ, καὶ Γλυκερίας.

(*) 23 — Ἰακώβου, Ἀποστόλου τοῦ Ἀδελφοθέου· Ἰγνατίου Πατριάρχ. Κων/πόλεως, Μακαρίου Νικηφόρου, καὶ Πετρωνίου.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλ ὅρα Κυρ. Κ'. Σελ. 122

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον Ιγ'. 54-58.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν πατρίδα αὐτοῦ, καὶ ἐδίδασκε τοὺς ὄχλους ἐν τῇ Συναγωγῇ αὐτῶν· ὥστε ἐκπλήττεσθαι αὐτοὺς, καὶ λέγειν· Πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; Οὐχ οὗτός ἐστιν ὁ τοῦ Τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Σίμων, καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ, οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ, καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς, διὰ τὴν ἀπιστίαν αὐτῶν.

24 — Ἀρέθα Μεγαλομάρτυρος ἁγίας Σεβαστιανῆς· οἱ ἅγιοι Ἀκάκιος, Σωτήριχος, Οὐαλεντῖνος, καὶ Νέρδων.

Ἀπόστολος. Ἀδελφοί, οἱ ἅγιοι πάντες. ὅρα Σελὶς 66.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· Ζήτει Σαβ. ΚΗ'. Ἑβδομ. Λουκᾶ. ΙΑ'. Σελ. 145.

25 — Ἁγίων Νοταρίων, Μαρκιανοῦ, Μαρτυρίου, Οὐαλλερί-

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολος τοῦ ἁγίου Εὐαγγέλ τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρίου, καὶ Χρυσάφου· ἁγίας Ταβιθᾶς· ἣν ἀνέστησεν ἐκ νεκρῶν ὁ ἅγιος Πέτρος· οἱ ἅγιοι Γεώργιος, Διόδωρος, Παππίας, Οὔαρος, Φαῦστος, Βασίλειος, Λουκιανός, Νικηφόρος, Στέφανος, Φιλάδελφος, καὶ Πολύκαρπος.

(*) 26 — Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου· ἁγίων μαρτύρ. Ἀρτεμιδώρου, Βασιλείου, Γλύκων, ὁσίου Ἰωάσαφ, καὶ τῆς ἁγίας λεπτῖνας.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Εἶπεν ὁ Κύριος· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων ὥρα 9 Φεβρουαρίου

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον Β'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β'. 1—10

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. Σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. Οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογίσαντι ἀρέσῃ. Ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυίδ, κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλομαι ὑμῖν. Ζήτει Σαβ. τῆς Γ'. Ἑβδ. Ἰωάννην Σελ. 32.

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπὸς τοῦ ἁγίου καὶ Εὐαγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 — Νέστορος Μάρτυρος, ἁγίας Καπιτωλίνης, Ἐρωτηΐδος, καὶ Πρόκλης· ἁγίου Κυριακοῦ Πατριάρχου Κωνσταντινουπόλεως.

28 — Ἁγίων μαρτύρων Τερεντίου, Νεονίλλης, μετὰ τῶν τέκνων αὐτῶν, Νιτᾶ, Σαρβίλου, Ἱέρακος, Θεοδούλου, Φωκᾶ, Βήλη, καὶ Εὐνίκης· ὁσίου Στεφάνου τοῦ Σαββαΐτου· Ἀφρικανοῦ, Μαξίμου, Πομπηΐου, ὁσ. Φιρμιλιανοῦ ἐπισκ. Καισαρείας Μελχίωνος,, Φεβρωνία θυγάτηρ Ἡρακλείου τοῦ Βασιλέως· ὁσίου Ἀθανασίου Πατριάρχ. Κωνσταντινουπ. καὶ τοῦ ἁγίου ἱερομάρ. Κυριακοῦ τοῦ φανερώσαντος τὸν τίμιον Σταυρὸν, ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, καὶ Ἑλένης τῆς Μητρὸς αὐτοῦ. ἁγίας Ἄννης, μητρὸς τοῦ ἁγίου Κυριακοῦ.

29 — Ἁγίας ὁσιομάρτ. Ἀναστασίας τῆς Ῥωμαίας τῶν ὁσ. Σάββας ὁ Στρατηλάτης, Ἀβραμίου, Μαρίας, ἁγίας Ἄννης τῆς μετονομασθείσης Εὐφημιανὸς, καὶ Μελιτινῆς· ἁγ. ἱερομάρτ. Ἀθανασίου τοῦ ἐν Μουτανίοις μαρτυρήσαντος ἁγ. μαρτ. Μίνη, καὶ Μιναίου.

30 — Ἁγ. μαρτύρων καὶ αὐταδέλφων Ζηνοβίου, καὶ Ζηνοβίας, Μαρκιανοῦ, Ἀλεξάνδρου, Κρονίωνος, Ἰουλιανοῦ, Μακαρίου, Ἀποστόλου Κλεόπα, Ἰησὴφ Πατριάρχου Κωνσταντινουπόλεως· ἁγ. μαρ. Ἀστερίου, Κλαυδίου, Νέωνος, καὶ Νεονίλλης τῆς ἀδελφῆς αὐτῶν· ἁγίας Εὐτροπίας· ἁγ. μαρτ. Μανουὴλ, Δομετίου, καὶ τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν 70 Τερτίου, Μάρκου, Ἰούστου, Ἰησοῦ, καὶ Ἀρτεμᾶ.

31 — Ἁγίων Ἀποστόλων ἐκ τῶν 70 Ἀπελλοῦς· Ἀμπλίου Οὐρβανοῦ, Ἀριστοβούλου, Ναρκίσου, καὶ Στάχυος· ἁγίων μαρτ. Ἐπιμάχου τοῦ Αἰγυπτίου· Ἰακώβου ἐπισκ. Μυγδονίας· ἁγίων μαρτύρων Στεφάνου, Βαρνάβα, Τροφίμου, Δορυμέδοντος, Κοσμᾶ, Δαμιανοῦ, Σάββα, Βάση, Ἀβραμίου, Σελεύκου, Γορδιανοῦ, Παῦ, καὶ Νικόλαος ὁ νεομάρτυς ἐν Χίῳ Μαρτυρήσας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ
ΝΟΕΜΒΡΙΟΣ

Ἔχων ἡμέρας 30 ἡ ἡμέρα ἔχει ὥρας 10 ἡ νὺξ ὥρας 14.

(*) 1 — Ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ, υἱῶν Θεοδότης ἐξ Ἀσίας. Ἰωάννου Ἐπισκόπου· Ἑρμηνιγγέλδου, Καισαρίου, Δασίου, Κυπριανοῦ, Ἰουλιανῆς Κυριαίνης, Ἰακώβου, καὶ Διονυσίου.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Ταῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.
Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός.

Πρὸς Κορινθίους Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. ΙΒ'. 27—31 ΙΓ'. 1 — 8.

Ἀδελφοί, ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον Ἀποστόλους, δεύτερον Προφήτας, τρίτον Διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες Ἀπόστολοι; μὴ πάντες Προφῆται; μὴ πάντες Διδάσκαλοι; μὴ πάντες δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν Ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ,

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ. τῶν ἁγίων Εὐαγ. Κυριακῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον (ι'. 5-8).

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

2 — Ἁγίων μαρτύρων Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου, Ἀνεμποδίστου, Εὐδοξίου, Ἀγαπίου, Κυριακῆς, Δομνίνας, Δόμνα, καὶ τοῦ ὁσίου Μαρκιανοῦ.

Ἀπόστολος, Ἀδελφοί, τοσοῦτον ἔχοντες ὅρα 9 Μαρτίου.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος προσέχετε. Ὅρα 9 Φεβρουαρίου.

3 — Ἁγίων μαρτύρ. Ἀκεψιμᾶ, Ἰωσὴφ, Ἀειθαλᾶ. Σεβήρου, Ἀνδρονᾶ, Θεοδώτου, Θεοδώτης, Ἠλίας, Ἀρχεμενίδου, τοῦ Πέρσου, καὶ Θεοδώρου ἐπισκόπου Ἀγηύρας.

4 — Ὁσίου Ἰωαννικίου τοῦ μεγάλου· Νικάνδρου Ἐπισκόπου. Ἑρμαίου, καὶ Πορφυρίου. Τοῦ ἁγίου εὐσεβεστάτου βασιλέως Ἰωάννου Δοὺξ, ὁ Βατάζης.

5 — Ἁγίου Γαλακτίωνος καὶ Ἐπιστήμης, οἱ ἅγιοι Πάνφιλος, Σιλβανὸς, Εὐψύχιος, Καρτέριος, Δωρόθεος Δομνῖνος, Ἀγαθάγγελος, Κάστορος, Τιμόθεος, Θεότιμος, καὶ Θεόφιλος· ἁγίων ἀποστόλων Ἑρμοῦ, Λίνου, Γαΐου, Φιλολόγου, Πατρόβα, καὶ τοῦ ὁσίου Γρηγορίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

6 — Λουκᾶ ἀρχιεπισκόπ Κωνσταντινουπόλεως· ὁσ. Σάββα.

7 — Ἁγ. Ἱέρανος μετὰ 33 μαρτ. ὁσ. Λαζάρου, Αὔκτου, Ἀλεξάνδρου, Ἀθηνοδώρου, Μελασσίπου, Κασίνης, καὶ Θεσσαλονίκης.

(*) 8 — Ἡ Σύναξις τῶν ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ, καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Εἶπεν ὁ Κύρ. Ὁρᾶτε· ὅρα Δευτέρα τοῦ ἁγίου Πνεύμ. σελ. 64.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Β'. 2-10)

Ἀδελφοί, εἰ ὁ διὰ Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη· συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ που τίς λέγων Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκη αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ, τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ. τῶν ἁγίων εὐαγ. Κυριακῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον. Λειτουργίας
Ἐκ τοῦ κατὰ Λουκᾶν Ι'. 16—21.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ Ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

9 — Ἁγίων μαρτ. Ὀνησιφόρου, Πορφυρίου, Ἀντωνίου, Χριστοφόρου, Εὐθυμίου, Νεοφύτου, Ἀρτέμωνος, Συμεὼν ὁ μεταφραστής, Ἰωάννης, Ἑλλάδιος, καὶ Ναρσῆς· ἁγ. γυναικῶν Θεοκτίστης τῆς Λεσβίας, Σωπάτρας, Εὐστολίας, Μαύρας, Ματρώνης.

10 — Ἁγίων 6 Ἀποστόλων ἐκ τῶν 70 Ὀλυμπᾶ, Ῥοδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου, καὶ Κουάρτου ἁγ. μαρτυρ. Ὀρέστου, Καλλιωπίου, Νίρου, Ὡρίωνος, ὁσ. Θεοστηρίκτου, καὶ Μίλου Ἐπισκόπου.

(*) 11 — Ἁγίων μαρτ. Μηνᾶ, Βίκτωρος, καὶ Βικεντίου· Θεοδώρου, τοῦ Στουδίτου καὶ τῆς ἁγίας Στεφανίδος.

Ἀπόστολος. Προκείμενον ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπών. ὥρα ΙΕ'. Κυριακὴ Σελὶς 108.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος Προσέχετε ὥρα 9 Φεβρουαρίου.

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ. τῶν ἁγίων Εὐαγ. Κυριακῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 12 — Ἰωάννου τοῦ Ἐλεήμονος Ἀρχιεπισκόπου Ἀλεξανδρείας· ὁσίων Νείλου, καὶ Μαρτίνου Ἐπισκόπου Φραγγίας. Ἀντωνίου, Ζεβινᾶ, Γερμανοῦ, Νικηφόρου, Νικόλαος ὁ Κωνσταντινουπολίτης· Προφήτου Ἀχιά, Ἀρσάκιος, ἁγία Μαραθὼ, Λέων Πατριάρχης Κωνσταντινουπόλεως καὶ Σάββας ὁ Νίγδελης.

Ἀπόστολος. Προκείμενον, Ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων.

Ἀδελφοί, ὁ σπείρων φειδομένως ὅρα ΙΗ'. Κυριακῇ Σελίς, 117

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον Ε'. 14-20.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου· οὐ δύναται πόλις κρυβῆναι, ἐπάνω ὄρους κειμένη· οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἕν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

(*) 13 — Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου· ὁσίου Δαμασκηνοῦ.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Ἐκ τοῦ κατὰ Ἰωάννην. Ι'. 1-9

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν, Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν,

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τοῦ ἁγίου καὶ Εὐαγ. τῆς Κυρ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει· καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται· καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Ἀπόστολος. Προκείμενον, ἦχος α'.

Τὸ στόμα μου λαλήσει σοφίαν· ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεὺς ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος· ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀναγκὴν ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς Μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων Λειτουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ἰωάννην ι'. 9—16.

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰμὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς· καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν· καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

14 — Ἁγίου ἐνδόξου καὶ πανευφήμου ἀποστόλου Φιλίππου ἑνὸς τῆς πρώτης χορείας τῶν 12. Γρηγορίου ἀρχιεπισκόπου Θεσσαλονίκης τοῦ Παλαμᾶ, καὶ Κωνσταντῖνος ὁ νεομάρτυς ἐξ ὕδρας

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα Η'. 26—39.

Ἐν ταῖς ἡμέραις ἐκείναις. Ἄγγελος Κυρίου ἐλάλησε πρὸς Φίλιππον, λέγων· Ἀνάστηθι, καὶ πορεύου κατὰ μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος. Καὶ ἀναστὰς ἐπορεύθη· καὶ ἰδοὺ, ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς Γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλὴμ, ἦν τε ὑποστρέφων, καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, κα. ἀνεγίνωσκε τὸν Προφήτην Ἡσαΐαν. Εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε, καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. Προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν Προφήτην Ἡσαΐαν, καὶ εἶπε· Ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; Ὁ δὲ εἶπε· Πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; Παρεκάλεσέ τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. Ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν, ἦν αὕτη.

(*) Εἴ τύχ. ἐν Κυρ. ἀπόστολ. τοῦ ἁγίου Εὐαγ. Κυριακῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

«Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τὶς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ». Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ, εἶπεν· Δέομαί σου, περὶ τίνος ὁ Προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός; Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν, ἦλθον ἐπί τι ὕδωρ· καὶ φησιν ὁ εὐνοῦχος· Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι; Εἶπε δὲ ὁ Φίλιππος· Εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. Ἀποκριθεὶς δὲ εἶπε· Πιστεύω τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι τὸν Ἰησοῦν Χριστόν. Καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα· καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ, τε Φίλιππος καὶ ὁ εὐνοῦχος· καὶ ἐβάπτισεν αὐτόν. Ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων.

Εὐαγγέλιον Λειτουργίας

Τῷ καιρῷ ἐκείνῳ ἠθέλησεν. ὅρα 1 Κυρ. τῶν Νηστειῶν Σελ. 178.

15 — Ἁγίων μαρτ. Γουρία, Σαμωνᾶ, Ἀβίβου, Ἐλπιδίου, Μαρκέλλου, Εὐστοχίου, Δημητρίου Κυντιῶνος ἐπισκόπου· Ἰουστίνου, καὶ Θεοδώρας τῶν εὐσεβῶν Βασιλέων. Θωμᾶ Πατριάρχου Κωνσταντινουπόλεως.

Ἀπόστολος

Ἀδελφοὶ, ἐνδυναμοῦσθε τῇ 27 Κυριακῇ Σελίς. 143.

Εὐαγγέλιον

Εἶπε ὁ Κύριος Προσέχετε ἀπὸ τῶν Γραμματέων ὅρα Σαβ. 17 Ἑβδομάδος Λουκᾶ Σελίς 161.

(*) 16 — Ἁγίου ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

Ἀπόστολος

Ἀδελφοὶ, ὁ Θεὸς ὑμᾶς τοὺς Αποστόλους ὅρα 10 Κυρ. Σελ. 92

Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ παράγων. Σαβ. τῆς 5 Ἑβδ. Ματθ. Σελ. 78

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολος. καὶ Εὐαγγέλιον τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 — Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας. Λαζάρου τοῦ ζωγράφου Ζαχαρίου τοῦ σκυτοτόμου· ὁσίων Λογγίνου Μαξίμου, Ἰωστίνου, καὶ Γενναδίου Πατριάρχου Κωσταντινουπόλεως.

18 — Πλάτωνος μεγαλομάρτ. Ζακχαίου Διακόνου, Ἀλφαίου, καὶ Ῥωμανοῦ διακόνου.

19 — Ἀβδιοῦ τοῦ προφήτου, καὶ ἱερομ. Βαρλαάμ· ἁγ. μαρ. Ἄζη, Ἀγαπίου, Ἡλιοδώρου, Ἀνθίμου, Θαλαλαίου, Χριστοφόρου, Παγχαρίου, καὶ Εὐφημίας.

20 — Προεόρτια τῆς ἐν τῷ ναῷ Εἰσόδου τῆς Θεοτόκου. Γρηγορίου τοῦ Δεκαπολίτου, καὶ Πρόκλου ἀρχιεπισκ. Κων)πόλεως· ἁγ. μαρ. Εὐσταθίου, Θεσπεσίου, Ἀνατολίου, Δαδίου, Θεοκτίστου, Νησᾶ ἐπισκ. καὶ Ἰωσὴφ τοῦ μαθητοῦ αὐτοῦ.

(*) 21 — Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναζᾶσα. ὅρα 8 Σεπτεμ. Σελ. 333.

Ἀπόστολος. Προκείμενον, ἦχος γ΄.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Θ΄. 1-7)

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς, εἰσίασιν οἱ ἱερεῖς τὰς

(*) Εἰ τύχ. ἐν Κυριακῇ Ὀρθρου Εὐαγγέλιον Ἀπόστολος καὶ Εὐαγγέλιον Λειτουργίας τῆς Θεοτόκου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Εὐαγγέλιον Λειτουργίας

Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς. 8 Σεπτεμ. Σελὶς 334.

22 — Ἁγίων Ἀποστόλων ἐκ τῶν 70 Φιλήμονος, Ἀρχίππου, Ἀπφίου, Ὀνησίμου, Μαθητῶν τοῦ ἀποστόλου Παύλου· ἁγίας Κικιλίας, Εὐφημίας, Βαλλεριανοῦ, Τιβουρτίου, Μάρκου, Στεφάνου, Χριστοφόρου, Ἀββᾶ, Μαξίμου, Καλλίστου, Θαδδαίου, Ἀγαπίωνος, Σισινίου. καὶ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν ἱεράρχου καὶ θαυματουργοῦ Κλήμεντος Ἐπισκόπου Βουλγαρίας τοῦ καὶ Βουλγαροκήρυκος ἐπονομαζομένου.

23 — Ἀμφιλοχίου ἐπισκ. Ἰκονίου· Γρηγορίου τοῦ Ἀκραγαντίνων· Σισινίου, Ἰσχυρίων, καὶ Ἕλενος Ἐπισκόπου Ταρσοῦ.

24 — Ἁγίων Ἱερομαρτύρ. Κλήμεντος Ῥώμης, καὶ Πέτρου Ἐπισκ. Ἀλεξανδρείας· οἱ ἅγ. Προκόπιος, Χριστόφορος, Φιλούμενος, Μάλχος, Εὐγένιος, Ἑρμογένης Ἐπισκ. Ἀκραγαντίνων. ἁγ. Χρυσογόνου, Καρίωνος, καὶ Μάρκου τοῦ Τριγλινοῦ.

(*) 25 — Ἁγίας Μεγαλομάρτυρος καὶ Πανσόφου Αἰκατερίνης· ἁγία Βασίλισσα· Πορφύριος ὁ Στρατηλάτης, Μερκούριος, Πέτρος ὁ ἡσυχαστὴς, καὶ 670 μαρτύρων.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Γ'. 23—29 Δ'. 1—5.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμου ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ, τῆς ἁγίας Εὐαγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι. Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Μάρκον

Κεφ. Ε'. 24—34.

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα· ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ ἔλεγε γάρ· Ὅτι, κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς· καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, Τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 — Ὁσίων Ἀλυπίου τοῦ Κιονίτου· καὶ Νίκωνος τοῦ Μετανοεῖτε· Στυλιανοῦ τοῦ Παφλαγόνος, Ἀκακίου, Ἰακώβου, τοῦ ἀναχωρητοῦ, Γεωργίου νεομάρ. τοῦ Χίου· καὶ Σίλου ἐπισ. Κορίνθου

27 — Ἰακώβου μεγαλομάρτ. τοῦ Πέρσου. Ναθαναὴλ, καὶ τοῦ ὁσίου Πινουφρίου.

28 — Ὁσίου Στεφάνου τοῦ νέου· ἁγίων μαρτύρ. Εἰρηνάρχου, Ἀνδρέου, Πέτρου, Ἄννης, καὶ 7 γυναικῶν· οἱ ἅγιοι μάρτ. Τιμόθεος καὶ Θεόδωρος οἱ ἐπίσκοποι· ἁγ. Ἰωάννης Σέργιος, Πετρος, Θεόδωρος, καὶ Νικηφόρος, οἱ ἱερεῖς· Βασίλειος, Δανιὴλ, Χαρίτων, Σωκράτης, Κομάσιος, Εὐσέβιος, καὶ Ἑτιμάσιος.

29 — Ἁγ. Παραμόνου, μετὰ 370 μαρτύρων· Φιλομένου, Οὐρβανοῦ, Διονυσίου ἐπισκ. Κορίνθου· Οὐαλλερίνου, Φαίδρου, Πυτηροῦν, Νικολάου ἀρχιεπισκ. Θεσσαλονίκης· Φιλομένου, Παγκοσμίου, καὶ Ἰωάννου τοῦ ἐν Περσίδι.

(*) 30 — Ἁγίου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου καὶ Φρουμεντίου ἐπισκόπ. Ἰνδίας.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Τῷ καιρῷ ἐκείνῳ περιπατῶν. Ὅρα 2 Κυριακῇ Ματθ. Σελ. 70

Ἀπόστολος

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους. ὅρα τῇ 10 Κυριακῇ Σελὶς 92.

Εὐαγγέλιον Λειτουργίας.

Τῷ καιρῷ ἐκείνῳ εἱστήκει ὁ Ἰωάννης. Ὅρα τῇ Τετάρτῃ τῆς Διακαινησίμου Σελὶς 16.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολος καὶ Εὐαγγέλ. τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ
ΔΕΚΕΜΒΡΙΟΣ

Ἔχων ἡμέρας 31 ἡ ἡμέρα ἔχει ὥρας 9 καὶ ἡ νὺξ ὥρας 15.

1 — Ναοὺμ τοῦ Προφήτου· ὁσίου Φιλαρέτου, καὶ Ἀνανίου.

2 — Ἀβακοὺμ τοῦ Προφήτ· Ἁγίας Μυρόπης, ὁσ. Ἰωάννου, Ἡρακλαίμονος, Ἀνδρέου, Θεοφίλου, καὶ Σολομὼν Ἀρχιεπ. Ἐφέσ.

3 — Σοφονίου τοῦ Προφ. Θεοδώρου ἱερομ. Σέλευκος, Μάμας.

(*) 4 — Ἁγίας Βαρβάρας, καὶ Ἰουλιανῆς· οἱ ἅγ. Χριστόδουλος, Χριστοδούλης Ἰωάννου τοῦ Πολυβότου. καὶ Σεραφείμ Ἐπισκ.

Ἀπόστολος. Προκείμενον, ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τον Θεόν.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. ὅρα 25 Νοεμ. Σελ. 362

Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει. ὅρα 25 Νοεμβρίου Σελὶς 363

(*) 5 — Ὁσίου Σάββα τοῦ Ἡγιασμένου· Ἀναστασίου μάρτυρ. ὁσ. Νόνου, Γράτου, Διογένους, καὶ Ἀβερκίου, τῶν μαρτύρων.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ὅρα 6 Δεκεμβρ. Σελ. 366.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ἀδελφοί, ὁ Καρπὸς τοῦ πνεύματος. ὅρα ΚΖ΄. ἑβδ Σελ. 142

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν (ΙΑ΄. 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ

(**) Εἰ τύχωσι. ἐν Κυριακῇ. τῆς ἁγίας Βαρβάρας, ἢ τοῦ ἁγίου Σάββα, ἀπόστολος. τῶν ἁγίων, καὶ Εὐαγ. τῆς Κυριακῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου Χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

(*) 6 — Ἁγίου Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ· καὶ Νικόλαος ὁ ἐν Σμύρνῃ μαρτυρήσας.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας. ὅρα 13 Νοεμ. Σελ. 357

Ἀπόστολος. Προκείμενον, Ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (ΙΓ. 17 21)

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γάρ, ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι· περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν. (ς'. 17-23.)

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ, καὶ τῆς παραλίου

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τοῦ ἁγίου, καὶ Εὐαγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας· Καὶ αὐτὸς, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοὶ, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πινῶντες νῦν, ὅτι χορτασθήσεσθε· Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοι ἐστὲ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

7 — Ἀμβροσίου ἐπισκ. Μεδιολάνων· ἁγ. μαρ. Ἀθηνοδώρου, Νεοφύτου, Δομετίου, Ἰσιδώρου, Ἀκεψιμᾶς, Λέων, Γαϊανὸς, Γάϊος, Πρίσκος, Μαρτίνος, Νικόλαος, ὁσ Ἰγνάτιος, Παῦλος ὁ μοναχὸς, Ἀμμοῦν ἐπισκ. Νητρίας. Τὰ Ἐγκαίνια τῆς Θεοτόκου ἐν τοῖς Κουράτορος.

8 — Ὁσίου Παταπίου, καὶ Σωφρονίου ἐπισκ. Κύπρου· ἁγ. 7 Μαρτ. ἐκ τῶν 70. Σωσθένους, Ἀπολλὼ, Κηφᾶ, Τυχικοῦ, Ἐπαφροδίτου, Καίσαρος, Ὀνησιφόρου.

(*) 9 — Ἡ Σύλληψις τῆς ἁγίας Ἄννης, μητρὸς τῆς Θεοτόκου· καὶ Ἄννης, μητρὸς Σαμουὴλ τοῦ Προφ. ὁσ. Στεφάνου, Σωσιθέου, Ναρσοῦ, Ἰσαὰκ, καὶ Στεφάνου τοῦ νεολαμποῦς.

Ἀπόστολος

Ἀδελφοὶ, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν. ὅρα Σεπτεμ. 23 Σελ. 341.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος. Οὐδεὶς λύχνον. ὅρα Σαβ. ς'. Λουκ. Σελ. 131.

10 — Τῶν ἁγ. μαρτύρ. Μηνᾶ τοῦ Καλλικελάδου, Ἑρμογένους, Εὐγράφου, Γεμέλλου, Μαριανοῦ, καὶ Θωμᾶ τοῦ Δεφουρκινοῦ.

11 — Τῶν ὁσ. Δανιὴλ τοῦ Στυλίτου, καὶ Λουκᾶ τοῦ νέου Στυλίτου· ἁγ. μαρτ. Ἀκεψεᾶ, Ἀειθαλᾶ, Βαρσαβᾶ, Τερεντίου, Βικεντίου, Αἰμιλιανοῦ, καὶ τῆς ἁγίας Βεβαίας.

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ. τῆς ἁγίας Εὐαγ. τῆς. Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΡΟΠΑΤΟΡΩΝ

Εἴδησις.

Κατὰ τὴν ἑνδεκάτην τοῦ παρόντος μηνὸς εἰ τύχοι ἐν Κυριακῇ, ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένη, μέχρι τῆς 17 ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων Προπατόρων.

Ἑωθ. Εὐαγγέλ. ὅρα ὄπισθεν ἐν τοῖς Πασχαλίοις τοῦ τρέχ. ἔτους

Ἀπόστολος

Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ. ὅρα ΚΘ.' ἑβδ. Σελ. 149.

Εὐαγγέλιον Λειτουργίας.

Εἶπεν ὁ Κύρ. τὴν παραβολὴν ταύτην ἄνθρωπός τις ἐποίησε δεῖπνον. ΙΑ.' Λουκᾶ Σελὶς 147.

(*) 12 — Ἁγίου Σπυρίδωνος τοῦ Θαυματουργοῦ· Ἀλεξάνδρου ἀρχιεπισκ. Ἱεροσολύμων· ἁγ. Ἀμωναθᾶ, Ἄνθου, καὶ Συνετοῦ.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας ὅρα Νοεμ. 13 Σελ. 357

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν Ἀδελφοὶ, ὡς τέκνα φωτὸς περιπατεῖτε. Σελὶς, 63.

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. ὅρα 13 Νοεμ. Σελ. 358.

13 — Τῶν ἁγ. μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, Ὀρέστου, Λουκίας τῆς Παρθένου, ὁσ. Ἀρσενίου. Γαβριὴλ Ἀρχιεπίσκοπος Σερβίας, καὶ Ἄρης.

14 — Τῶν ἁγ. μαρτ. Θύρσου, Λευκίου, Καλλινίκου, Φιλήμονος, Ἀπολλωνίου, Ἀρριανοῦ, μετὰ 4. Προτικτόρων.

(*) 15 — Ἁγίου Ἱερομάρτυρ. Ἐλευθερίου, καὶ Ἀνθίας τῆς μητρὸς αὐτοῦ· τῆς ὁσ. Σωσάννης, Κορέμμων ὁ ἔπαρχος, Ἐλευθέριος ὁ Θαλαμηπόλος, Παύλος, καὶ Βάκχος ὁ νέος.

(**) Εἰ τύχοι ἐν Κυριακῇ τοῦ ἁγίου Σπυρίδωνος ἢ τοῦ ἁγ. Ἐλευθερίου, ἀπόστολος τῶν ἁγίων, καὶ Εὐαγ. τῶν Προπατόρων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων;

Πρὸς Τιμόθεον Β.' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. Α.'8-18.

Τέκνον Τιμόθεε, μὴ ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, τοῦ σώσαντος ἡμᾶς, καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ Εὐαγγελίου, εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ Ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν· δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω· ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι, ὅτι δυνατός ἐστι τὴν παρακαταθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. Ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων, ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. Τὴν καλὴν παρακαταθήκην φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελος καὶ Ἑρμογένης. Δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε, καὶ τὴν ἅλυσίν μου οὐκ ἐπῃσχύνθη ἀλλὰ γενόμενος ἐν Ῥώμῃ, σπουδαιότερον ἐζήτησέ με, καὶ εὗρε. Δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησέ μοι, βέλτιον σὺ γινώσκεις.

Εὐαγγέλιον Λειτουργίας

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο· ὅρα Σαβ. τῆς ά. ἑβδ. Σελ. 176

16 — Ἁγίου Προφ. Ἀγγαίου· ἁγ. μαρτ. Μαρίνου, Χριστοφόρου, Πρόβου, Ἰλαρίωνος, καὶ τῆς ἁγίας Θεοφανοῦς Βασιλίσσης, Συζύγου τοῦ Σοφοτάτου Λέοντος τοῦ Βασιλέως· τὸ δὲ ἱερὸν αὐτῆς Λείψανον σῴζεται ἐν τῷ Πατριαρχικῷ Ναῷ, Κωνσταντινουπόλεως· Μέμνων Ἀρχιεπ. Ἐφέσου. Νικόλαος Ἀρχιεπ. Κωνσταντινουπόλεως.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

17 — Δανιὴλ τοῦ προφήτου καὶ τῶν τριῶν Παίδων. Ἀνανίου, Ἀζαρίου, καὶ Μισαὴλ· ὁσίου Παρτεμουθίου, Κόπρι, Ἀλεξάνδρου, Βάκχου, ὁσ. Δουναλὲ, καὶ Διονυσίου τοῦ νέου.

(*) 18 — Τῶν ἁγ. μαρτύρ. Σεβαστιανοῦ, Τραγγυλίνου, Νικοστράτου, Κλαυδίου, Κάστορος, Τιβουρτίου, Καστούλου, Μαρκελλίνου, Μάρκου, Φωκᾶ, Ἑρμήλου, Εὐβιότου, Ζακχαίου διακόνου, Ἀλφειοῦ ἀναγνώστου, ὁσ. Φλώρου ἐπισκ. Ἀμινσοῦ, Μιχαὴλ Συγκέλου, Ζωῆς, Σοφίας, καὶ Μοδέστου Ἀρχιεπ. Ἱεροσολ.

19 — Τῶν ἁγ. μαρτ. Βονιφατίου, Ἠλία, Πρόβου, Ἄρεως, Τιμοθέου, Πολιεύκτου, Εὐτυχίου, Τρίφωνος, καὶ Θεσσαλονίκης.

20 — Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου· Φιλογενίου ἐπισκόπου Ἀντιοχείας, καὶ Ἰωάννης ὁ ἐκ τῆς Νήσου θάσου.

21 — Τῆς ἁγίας μάρτυρος Ἰουλιανῆς· καὶ τῶν ἁγ. 500 μαρτύρων οἱ διὰ τῆς Ἰουλιανῆς πιστεύσαντες· ἁγ. μάρτ. Θεμιστοκλέους· ἁγ. 130 γυναικῶν ἐν Νικομηδείᾳ μαρτυρησάντων.

22 — Ἁγίας Ἀναστασίας τῆς Φαρμακολυτρίας, καὶ Θεοδότης μάρτυρ. ἁγ. μαρτύρ. Χρυσογόνου, καὶ Ζωΐλου.

23 — Ὁσίου Πχύλου, ἀρχιεπισ. Νεοκαισαρίας ἑνὸς τῶν 318 Πατέρων. Τὰ Ἐγκαίνια τῆς Μεγάλης Ἐκκλησίας ἁγίας Σοφίας.

ΤΩ ΣΑΒΒΑΤΩ

ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

Ἀ π ό σ τ ο λ ο ς

Ἀδελφοὶ, Προϊδοῦσα ἡ Γραφὴ. ὅρα Σαβ. τῆς Κς.. ἑβδ Σελ. 140

Ε ὐ α γ γ έ λ ι ο ν

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην ὡμοιώθη. Ὅρα τῷ Σαββάτῳ τῆς ΙΒ.′ ἑβδομάδος Λουκᾶ Σελὶς 148.

(*) Ἀπὸ τῆς 18 μέχρι τῆς 23 τοῦ παρόντος Μηνὸς ἐὰν συμπέσῃ ἐν ἡμέρᾳ Σαβ. Ἀπόστ. καὶ Εὐαγγέλ Σαββάτῳ πρὸ τῆς Χριστοῦ Γεννήσεως· Ὅρα ἀνωτέρω. Ἐὰν καὶ πάλιν ἀπὸ τὰς 18 —24 Δεκεμβρ. τύχοι ἐν Κυριακῇ, ἀνάγνωθι Ἀπόστολ. καὶ Εὐαγγέλιον Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως· Σελ. 371

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ

Ἑωθ. Εὐαγ. Ὅρα ὄπισθεν ἐν τοῖς Πασχαλίοις τοῦ τρέχ. ἔτους.

Ἀπόστολος. Προκείμενον, ἦχος δ.΄

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
Ὅτι δίκαιος εἶ ἐπι πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (ΙΑ΄. 9)

Ἀδελφοί, πίστει παρῴκησεν Ἀβραὰμ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας, μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Καὶ τί ἔτι λέγω; Ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαρὰκ τε καὶ Σαμψών καὶ Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ, καὶ τῶν Προφητῶν· οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος)· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Εὐαγγέλιον Λειτουργίας
Ἐκ τοῦ κατὰ Ματθαῖον. (Α΄ 1-25.)

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, Υἱοῦ Δαυὶδ, Υἱοῦ Ἀβραάμ· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ. Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς, καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ· Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ· Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ· Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσὼν Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών· Σαλμὼν δὲ ἐγέννησεν τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ· Βοὸζ δὲ ἐγέννησε τὸν Ὼβὴδ ἐκ τῆς Ῥούθ· Ὼβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί. Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαυὶδ τὸν Βασιλέα· Δαυὶδ δὲ ὁ Βασιλεὺς, ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου. Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά. Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν. Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωάθὰμ δὲ ἐγέννησε τὸν Ἄχαζ· Ἄχαζ δὲ ἐγέννησε τὸν Ἑζεκίαν. Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ· Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν. Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ. Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ. Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ· Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ· Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ· Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ· Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν· Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρᾳ ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ, Ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ υἱὸς Δαυὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματος ἐστιν ἁγίου. Τέξεται δὲ Υἱὸν, καὶ καλέσεις τὸ ὄνο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μα αὐτοῦ, Ἰησοῦν· Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. (Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος. Ἰδοὺ, ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, Μεθ' ἡμῶν ὁ Θεός). Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ Ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

(*) 24 — Παραμονὴ τῆς Χριστοῦ Γεννήσεως. Εὐγενίας ὁσιομάρ. καὶ Φίλιππος ὁ πατὴρ αὐτῆς· οἱ ἁγ. Νικόλαος, Πρωτᾶς, Ἰάκυνθος, Ἀχαϊκὸς, Ἀντίοχος, καὶ τῆς ἁγίας Βασίλλας.

ΑΠΟΣΤΟΛΟΙ ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ
ΤΩΝ ΩΡΩΝ
ΕΝ ΤΗ ΠΑΡΑΜΟΝΗ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ

ΩΡΑ ΠΡΩΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Πολυμερῶς καὶ πολυτρόπως. Σαβ. Α' Ἑβδ. Νης. Σελ. 175

Ε ὐ α γ γ έ λ ι ο ν

Ἐκ τοῦ κατὰ Ματθαῖον Α.' 18—25.

Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν· Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. Ἰω

(*) Εἰ τύχοι τῶν Χριστουγέννων ἐν ἡμέρᾳ Τρίτῃ, ἢ Τετάρτῃ, ἢ Πέμπτῃ, ἢ Παρασκευῇ, ἢ Σάββατον, αἱ Ἀκολουθίαι τῶν Μ. ὡρῶν, ψάλλονται πρὸ μιᾶς ἡμέρας· μετὰ τῆς Θείας Λειτουργ. τοῦ Μεγάλου Βασιλείου. Εἰ τύχοι δὲ ἐν ἡμέρᾳ Κυριακῇ, ἢ Δευτέρᾳ, τότε ψάλ. αἱ ὧραι τῇ Παρασκευῇ ἄνευ Λειτουργίας· μετὰ τὴν εὐχὴν, εὐθὺς καὶ ἀπόλυσις. Ἡ αὐτὴ Τυπικὴ διάταξις καὶ ἐν τῇ ἡμέρᾳ τῶν Θεοφανείων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ, Ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ υἱὸς Δαυΐδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου. Τέξεται δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ, Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. (Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός). Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ Ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. Καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

ΩΡΑ ΤΡΙΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. ὅρα 25 Νοεμ. Σελ. 362

Ε ὐ γ γ έ λ ι ο ν.

Ἐκ τοῦ κατὰ Λουκᾶν Β΄ 1—20.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. (Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου). Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυΐδ, ἥτις καλεῖται Βηθλεέμ, (διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυΐδ), ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ· διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. Καὶ Ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. Καὶ ἰδοὺ, Ἄγγελος Κυρίου, ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν. Καὶ εἶπεν αὐτοῖς ὁ Ἄγγελος· Μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· Ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαυΐδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· Εὑρήσετε βρέφος ἐσπαργανωμένον κείμενον ἐν τῇ φάτνῃ. Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ Ἀγγέλῳ πλῆθος Στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ Ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ Ποιμένες εἶπον πρὸς ἀλλήλους· Διέλθωμεν δὴ ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν. Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ Βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ Παιδίου τούτου. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν Ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ὑπέστρεψαν οἱ Ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

ΩΡΑ ΕΚΤΗ

Ἀπόστολος

Κατ' ἀρχὰς σὺ Κύριε. ὅρα 2 Κυρ. τῶν Νηστειῶν Σελ. 180.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον (Β.' 1-12.)

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ, Μάγοι ἀπὸ Ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες· Ποῦ ἐστιν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τῇ Ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ἀκούσας δὲ Ἡρῴδης ὁ βασιλεὺς ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. Καὶ συναγαγὼν πάντας τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται; Οἱ δὲ εἶπον αὐτῷ· Ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ Προφήτου· Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξελεύσεται Ἡγούμενος, ὅς τις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρῴδης, λάθρα καλέσας τοὺς Μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε· Πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ Βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ, ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ Ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ Παιδίον. Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εὗρον τὸ Παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ· καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. Καὶ χρηματισθέντες κατ' ὄναρ, μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

ΩΡΑ ΕΝΝΑΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. ὅρα τῇ Μεγάλῃ Παρασκευὴ Σελὶς 288.

Ε ὐ α γ γ έ λ ι ο ν

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Β'. 13-23)

Ἀναχωρησάντων τῶν Μάγων, ἰδοὺ, Ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης ζη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεῖν τὸ Παιδίον, τοῦ ἀπολέσαι αὐτό. Ὁ δὲ ἐγερθείς, παρέλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ νυκτός, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον· καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου. ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. Τότε Ἡρώδης, ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς Παῖδας τοὺς ἐν Βηθλεὲμ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ Προφήτου, λέγοντος· Φωνὴ ἐν Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολύς. Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ, Ἄγγελος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων· Ἐγερθεὶς παράλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου. Ὁ δὲ ἐγερθείς, παρέλαβε τὸ Παιδίον καὶ τὴν Μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ· Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει, ἐπὶ τῆς Ἰουδαίας, ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. Καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν Προφητῶν ὅτι Ναζωραῖος, κληθήσεται.

(*) ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ Η, ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Α. 1-14)

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων,

(*) Εἰ τύχ. τῶν Χριστουγέν. ἐν ἡμέρ. Δευτέρ. τῇ Κυρ. ἑσπέρα ψάλ. ὁ Μ. Ἑσπερ. Μετὰ τὸ 3 Ἀνάγν. εὐθὺς ὁ Ἀπός. καὶ τὸ Εὐαγ. Ἡ αὐτὴ Τυπικὴ διάταξις καὶ ἐν τῇ Παραμονῇ τῶν Θεοφαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων· Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν; Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν; Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν, τοῖς ἀκουσθεῖσι, μή ποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

Εὐαγγέλιον

Ἐν ταῖς ἡμέραις ἐκείν. ἐξῆλθε δόγμα. εἰς τὴν 3 ὥρ. Σελ. 374.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 25 — Η ΚΑΤΑ ΣΑΡΚΑ ΓΕΝΝΗΣΙΣ ΤΟΥ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

Εὐαγγέλιον τοῦ Ὄρθρου

Τοῦ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις. Ὅρα εἰς τὴν 1 ὥρ. Σελ. 373.

Ἀπόστολος

Προκείμενον, ἦχος πλ. δ'.

Πᾶσα ἡ γῆ προσκυνησάτωσαν σοι, καὶ ψαλάτωσαν σοι.
Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Δ'. 4-7)

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κράζον· Ἀββᾶ, ὁ Πατήρ. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ.

Εὐαγγέλιον Λειτουργίας

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλ. Ὅρα εἰς τὴν 6 ὥρ. Σελ. 375

(*) 26 — Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου· Εὐθυμίου Ἐπισκόπ. Σάρδεων· ὁσ. Εὐαρέστου, καὶ Κωνσαντίνου τοῦ Ῥώσσου.

Ἀπόστολος Προκείμενον, ἦχος γ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ἀδελφοί, ὁ ἁγιάζων· Ὅρα τῇ Μεγ. Παρασκευῇ Σελὶς, 288.

Εὐαγγέλιον.

Ἀναχωρησάντων τῶν Μάγων· ζήτ. εἰς τὴν 9 ὥραν. Σελ. 376.

(*) Εἰ τύχ. ἐν Κυρ. ὄρθρ. Εὐαγ. ἀπός. καὶ Εὐαγ. τῆς Ἑορτῆς.

(*) Εἰ τύχ. ἐν Σαββάτῳ ἢ Κυρ. Ἀπος. καὶ Εὐαγ. Σαβ. μετὰ τὴν Χριστοῦ γέν. ἢ Κυρ μετὰ τὴν Χρις. Γέννη. Εἰ τύχ. ἐν ἡμ. Δευτέρα Ἀπός καὶ Εὐαγ Κυρ. πρὸ τῶν Φώτων. Σελ. 384

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 27 — Ἁγίου Πρωτομάρτ καὶ Ἀρχιδιακόνου Στεφάνου ἑνὸς τῶν 7 Διακόνων ὁσ. Θεοδώρου τοῦ Γραπτοῦ, Θεοδώρου Ἀρχιεπ. Κωνσταντινουπόλεως καὶ Ἱερομάρτυρος Μαυρικίου.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.
Κεφ. ς'. 8 15 Ζ'. 1—5 47-60.

Ἐν ταῖς ἡμέραις ἐκείναις, Στέφανος πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ· καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας, λέγοντας ὅτι· Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν. Συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς Πρεσβυτέρους καὶ τοὺς Γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτόν, καὶ ἤγαγον εἰς τὸ συνέδριον. Ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου· ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον Ἀγγέλου. Εἶπε δὲ ὁ Ἀρχιερεύς· Εἰ ἄρα ταῦτα οὕτως ἔχει; Ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν, καὶ εἶπε πρὸς αὐτόν. Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω. Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν. Κἀκεῖθεν, μετὰ τὸ ἀποθανεῖν τὸν πατέ-

(*) Εἰ τύχ. ἐν Σαβ. ἢ ἐν Κυριακῇ, ἀπόστολ. τοῦ ἁγίου, καὶ Εὐαγγέλ. Σαβ. μετὰ τὴν Χριστοῦ γέννητ. Σελ. 382 ἢ Κυριακ. μετὰ τὴν Χριστοῦ γέννησιν Σελὶς, 383.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός· Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. Ἀλλ' οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ Προφήτης λέγει· Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει Κύριος· ἢ τίς τόπος τῆς καταπαύσεώς μου; Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς. Τίνα τῶν Προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ Δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε· οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς Ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτῶν· Ὑπάρχων δὲ πλήρης Πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ εἶπεν· Ἰδοὺ, θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. Κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτὸν· καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν· καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον, καὶ λέγοντα· Κύριε Ἰησοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης. Ὅρα Κυριακῇ 13 Ματθαίου· Σελὶς 102.

28 — Ἁγίων Δισμυρίων μαρτ. οἱ ἐν Νικομηδείᾳ καέντων· οἱ ἅγιοι Πέτρος, Ἰνδης, Γοργόνιος, Δωρόθεος, Θεόφιλος, Μυγδόνιος, Γλυκέριος, Ζήνωνος, Μαρδόνιος, ἁγίας Δόμνας, καὶ Σίμων ὁ μυροβλύτης καὶ κτίτωρ τῆς ἐν τῷ ἁγ. Ἄθῳ Μονῆς Σιμωνόπετρας

29 — Τῶν ἁγίων δεκατεσσάρων χιλιάδων νηπίων ὑπὸ Ἡρῴδου ἀναιρεθέντων· Ὁσίων Μαρκέλου, καὶ Θαδδαίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου.

Τέκνον Τιμόθεε, δίωκε. ὅρα Σαβ. τῆς ΛΔ. Ἑβδομ. Σελ. 161

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ματθαῖον. (ΙΒ'. 15-21).

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· Ἰδοὺ, ὁ παῖς μου, ὃν ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει· ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν. Καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.

ΤΗ ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ

Ἀπόστολος Προκείμενον, ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.
Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλ. ὅρα Κυρ. Κ'. Σελ. 122

Εὐαγγέλιον.

Ἀναχωρησάντων τῶν Μάγων. ὅρα εἰς τὴν Θ'. ὥρ. Σελ. 376.

30 — Ἁγίας Ἀνυσίας· ὁσ. Θεοδώρας, Λέων, καὶ Φιλεταίρου.
(*) 31 — Ὁσ. Μελάνης τῆς Ῥωμαίας ἁγ. μαρτ. Γελάσιος, Βούσιρις, Γαυδέντιος, Γάϊος, Ὀλυμπιοδώρου, Ὀλυμπιοδώρας, Νέμης

(*) Εἰ τύχ. ἐν Σαβ. ἢ ἐν Κυρ. Ἀπόστολ. καὶ Εὐαγ, Σαβ. πρὸ τῶν Φώτων, σελ. 382 ἢ Κυρ. πρὸ τῶν Φώτων Σελ. 383.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΩ ΣΑΒΒΑΤΩ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ

Ἀπόστολος Προκείμενον, ἦχος δ'.

Ἐφράνθητι ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθαι δίκαιοι.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Πρὸς Τιμόθεον Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Γ' 13)

Τέκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες, βαθμὸν ἑαυτοῖς καλὸν περιποιοῦνται, καὶ πολλὴν παῤῥησίαν ἐν πίστει τῇ ἐν Χριστῷ Ἰησοῦ. Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον· ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν ἐκκλησία Θεοῦ ζῶντος, στύλος καὶ ἑδραίωμα τῆς ἀληθείας. Καὶ ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη Ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμονίων, ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν· ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον, μετὰ εὐχαριστίας λαμβανόμενον· ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Ματθαῖον (Γ'. 1 6.)

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάτατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ». Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου· καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Πρὸς σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

Πρὸς Τιμόθεον Β'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Δ'.5-8)

Τέκνον Τιμόθεε, νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον Εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Μάρκον (Α'. 1-8).

Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ· ὡς γέγραπται ἐν τοῖς Προφήταις· Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ ». Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται· καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἦν δὲ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐ-

(*) Εἰ μὲν τύχωσι 2 Κυριακαὶ μεταξὺ τῶν Χριστουγέν. καὶ τῶν Φώτων, τῇ μὲν 1 Κυρ. Ἀπός. καὶ Εὐαγ. Κυρ. Μετὰ τὴν Χριστοῦ Γέννησ. Σελ. 382 Τῇ δὲ 2 Κυρ· Ἀπος. καὶ Εὐαγ. Κυρ. Πρὸ τῶν Φώτων. Ἐὰν δὲ τύχ. ἓν μόνον Σάβ. καὶ μία Κυρ. τὸ μὲν Σάβ. Ἀπός. καὶ Εὐαγ. Σαβ. Μετὰ τὴν Χριστουγέν· Σελ, 382· Τὴν δὲ Κυρ. ἀνάγνωθι Ἀπός. καὶ Εὐαγ. Κυρ. Πρὸ τῶν Φώτων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθίων ἀκρίδας καὶ μέλι ἄγριον. Καὶ ἐκήρυσσε, λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς, κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ

ΜΗΝ
ΙΑΝΟΥΑΡΙΟΣ

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας 10, καὶ ἡ νὺξ ὥρ. 14.

(*) 1 — Ἑορτάζομεν τὴν κατὰ σάρκα περιτομὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἁγίου Βασιλείου, Ἀρχιεπισκ. Καισαρείας Καππαδοκίας οὐρανοφάντορος τοῦ Μεγάλου. ἁγίου Γρηγορίου, πατρὸς Γρηγορίου τοῦ Θεολόγ. καὶ Θεοδότου.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύρ. πρὸς τοὺς ἐληλυθότ. ὥρα 13 Νοεμβρ. Σελ. 357.

Ἀπόστολος. Προκείμενον, ἦχος ά.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Β 8-12)

Ἀδελφοὶ, βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν. Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας· ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

(*) Εἰ τύχ. ἐν Κυρ. Τὸ Ἑωθινὸν. Εὐαγ. ἀπός. δὲ καὶ Εὐαγ. Λειτουργίας τὰ ἀνωτέρω.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Β'. 20-21 40-52)

Τῷ καιρῷ ἐκείνῳ, ὑπέστρεψαν οἱ Ποιμένες, δοξάζοντες καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ Παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ Ἀγγέλου, πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ· Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάριτος Θεοῦ ἦν ἐπ' αὐτό. Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, ζητοῦντες αὐτόν. Καὶ ἐγένετο, μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ Ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες αὐτὸν, ἐξεπλάγησαν· καὶ πρὸς αὐτὸν ἡ Μήτηρ αὐτοῦ εἶπε· Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ Πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Ἡ δὲ Μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

2 (*) Σιλβέστρου Πάπα Ῥώμης. Θεοπέμπτου καὶ Θεοδότης, ἡ Μήτηρ ἁγ. Ἀναργύρων. οἱ ἅγ. Θεόπιστος, Σέργιος, Μάρκος ὁ

(*) Εἰ τύχωσι ἡ 2 ἡ 3 ἡ 4 ἡ 5 ἐν Κυρ. Ἀπόστολον καὶ Εὐαγγέλιον ἀνάγνωθι, Κυρ. Πρὸ τῶν Φώτων. Σελὶς, 384.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κωφοῦ, Θεαγένους, ὁσίου Κοσμᾶ ἀρχιεπ. Κωνσαντ. καὶ Ζώρζης.

3 — Προφ. Μαλαχίου, Γορδίου, καὶ Πέτρου τοῦ Σημειοφόρου.

4 — Προεόρτια τῶν Φώτων, ἡ Σύναξις τῶν 70 Ἀποστόλων ἁγ. μαρτ. Ζωσίμου, Ἀθανασίου Κομενταρισίου, ὁσ. Θεοκτίστου ἐν τῷ Κουκούμῳ τῆς Σικελίας, καὶ τῆς ἁγίας Ἀπολιναρίας. ὁσ. Εὐθυμίου τοῦ νέου. Χρυσάνθου, Εὐφημίας. Ὀνουφρίου τοῦ νέου.

Ἀπόστολ. Ἀδελφοὶ ὁ Θεὸς ἡμᾶς. ὥρα Σελὶς, 92.

Εὐαγγέλ. Θεὸν οὐδεὶς ἑώρακε ὥρα Δευτέρ. Διακαιν. Σελ. 11.

5 — Ἡ παραμονὴ τῶν Θεοφανείων. ἁγ. μαρτ. Θεοπέμπτου, Θεωνᾶ, ὁσ. γυναικ. Δομνίνα, Τατιανὴ, Συγκλητικὴ. ὁσ. Φωστηρίου, Σάϊς, Θεόειδος, καὶ Γρηγορίου τοῦ ἐν τῷ Ἀκρίτα.

ΑΠΟΣΤΟΛΟΙ ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ
ΤΩΝ ΩΡΩΝ
ΕΝ ΤΗ ΠΑΡΑΜΟΝΗ ΤΩΝ ΘΕΟΦΑΝΕΙΩΝ

ΩΡΑ ΠΡΩΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου. ὥρα 29 Αὐγούστου.

Ε ὐ α γ γ έ λ ι ο ν.

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ Βαπτις. ὥρα Σκβ. πρὸ τῶν Φώτων. Σελὶς, 383

ΩΡΑ ΤΡΙΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. (ΙΘ 1-8)

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο, ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον· καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν· Ἀλλ' οὐδὲ εἰ Πνεῦμα ἅγιόν ἐστιν, ἠκούσαμεν. Εἶπε δὲ πρὸς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτούς· Εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων· εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν. Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς· ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο, ἐπὶ μῆνας τρεῖς διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

ΩΡΑ ΕΚΤΗ

Ἀ π ό σ τ ο λ ο ς

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθ. ὥρα Μ. Σαβ. Σελ. 349

Ε ὐ α γ γ έ λ ι ο ν

Ἐκ τοῦ κατὰ Μάρκον. (Α'. 9-11).

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν, καταβαίνον ἐπ' αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τῶν οὐρανῶν· « Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα.

ΩΡΑ ΕΝΝΑΤΗ

Ἀ π ό σ τ ο λ ο ς.

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις. ὥρα 6 Ἰανουαρίου. Σελ. 390

Ε ὐ α γ γ έ λ ι ο ν.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Γ'. 1-18)

Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ Ἀρχιερέων Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου υἱόν, ἐν τῇ ἐρήμῳ Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ Προφήτου, λέγοντος « Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. » Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς· Πατέρα ἔχομεν τὸν Ἀβραάμ. Λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· Τί οὖν ποιήσωμεν; Ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω. Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι ὑπ' αὐτοῦ, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσομεν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσομεν; Καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι, λέγων· Ἐγὼ μὲν ἐν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ Η, ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀπόστολος. Προκείμενον, ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. Θ'. 17-27.

Ἀδελφοί, ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος (μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ,) ἵνα κερδήσω ἀνόμους. Ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. Τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. Οὐκ οἴδατε, ὅτι οἱ ἐν τῷ σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσι, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται· ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ, ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Εὐαγγέλιον

Ἐν ἔτι πεντεκαιδεκάτῳ. Ὅρα εἰς τὴν 9 ὥραν Σελὶς, 388.

ΕΙΣ ΤΟΝ ΑΓΙΑΣΜΟΝ

Ἀπόστολος. Προκείμενον, ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους Α Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Ι'. 1-4)

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν· καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον· καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ· καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔφαγον· καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Εὐαγγέλιον.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς. ὅρα εἰς τὴν 6 ὥρ. Σελ. 388·

6 — Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· Ῥωμανοῦ Ἱερομάρτ. τοῦ Λακεδαίμωνος.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρέτ. ὅρα Σελ. 388.

Ἀπόστολος. Προκείμενον, ἦχος α΄.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός.

Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. Β΄. 11-15 Γ΄. 4-7.

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν· ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Γ΄. 13-17)

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτόν, λέγων· Ἐγὼ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἀ
ποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι· οὕτω γ
πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίη
αὐτόν. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατ
καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦ
τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ' α
τόν· Καὶ ἰδοὺ, φωνὴ ἐκ τῶν Οὐρανῶν, λέγουσα· « Οὗτός ἐστ
ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

(*) 7 — Ἡ Σύναξις τοῦ Τιμίου Προφήτου Προδρόμου καὶ Β
πτιστοῦ Ἰωάννου· καὶ Ἀθανασίου τοῦ Νεομάρτυρος.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο. ὅρα Σελὶς, 378.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ἰωάννην

Κεφ. Α'. 29-3

Τῷ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμε
πρὸς αὐτὸν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴ
τὴν ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπ
Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρ
τός μου ἦν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ
σραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ ἐμ
τύρησεν Ἰωάννης, λέγων· Ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβ
νον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν. Κά
οὐκ ᾔδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκ
νός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μ
νον ἐπ' αὐτὸν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ· Κ
γὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θε

8 — Ὁσίων Γεωργίου τοῦ Χοζεβίτου καὶ Δομνίκας· ἁγ
μαρτ. Ἰουλιανοῦ, Βασιλίσσης, Ἀντωνίου, Κελσίου, Θεοφί

(*) Ἐν οἱαδήποτε ἡμέρᾳ τύχοι, Ἀπός· καὶ Εὐαγ. τοῦ ἁγ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐλαδίου Κύρου Πατριάρχ. Κωνσταντινουπ. Ἱερομάρ. Καρτερίου, Ἀττικοι, Ἀγάθωνος, καὶ τοῦ ἁγ. Προφ. Σαμέα τοῦ Ἐλαμίτου.

9 — Ἁγίου Μάρ. Πολυεύκτου, καὶ τοῦ ὁσίου Εὐστρατίου.

10— Γρηγορίου Ἐπισκ. Νύσσης, ὁσ. Δομετιανοῦ, ἐπισκ. Μελιτινῆς, Μαρκιανός, καὶ Ἀμμώνιος

(*) 11— Ὁσίου Θεοδοσίου τοῦ Κοινοβιάρχου. Βιτταλίου, Θεοδώρου, Στεφάνου Μαΐρου, Ἀγαπίου, καὶ Ἀρχιμανδρίτου.

Ἀπόστολος Προκείμενον, ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων.

Ἀδελφοὶ μνημονεύετε. ὥρα 18 Ἰανουαρίου. Σελ. 397

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος· Πάντα μοι παρεδόθη ὥρα 5 Δεκεμβρίου Σελ 365

12 —Ἁγίων Μαρτ. Τατιανῆς, Εὐθασίας, Πέτρου τοῦ Ἀβεσαλαμίτου, Μερτίου, καὶ τοῦ Ὁσίου Ἡλιού.

13 — Ἁγ. Μαρτ. Ἑρμύλου, Στρατονίκου, Ἀθανασίου, ὁσ. Ἰακώβου, Παπυρίνου, Παχωμίου.

14 — Ἁγ. Ἀββάδων ἐν ὄρει Σινᾶ· ὁσ. Θεοδούλου υἱοῦ Νείλου τοῦ σοφοῦ. Στεφάνου τοῦ κτίσαντος τὴν Μονὴν Χηνολάκου.

ΤΩ ΣΑΒΒΑΤΩ ΜΕΤΑ ΤΑ ΦΩΤΑ

Ἀποστολος Προκείμενον, ἦχος πλ. δ'.

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι.

Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Ἀδελφοί, ἐνδυναμοῦσθε. ὥρα ΚΖ. Κυριακῇ Σελ. 143.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Δ'. 1-11).

Τῷ καιρῷ ἐκείνῳ, ἀνήχθη ὁ Ἰησοῦς εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος, πειρασθῆναι ὑπὸ τοῦ διαβόλου. Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον

(*) Εἰ τύχ. ἐν Κυρ· Ἀπός. τοῦ ἁγίου καὶ Εὐαγ. τῆς Κυρ. μετὰ τὰ Φῶτα.. Εἰ τύχ. τῇ Κυρ. τοῦ Τελώνου καὶ Φαρισ. Ἀπός. Κυρ. μετὰ τὰ Φῶτα, καὶ Εὐαγ. τοῦ Τελώνου. Σελὶς, 160.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπείνασε. Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων, εἶπεν· Εἰ Υἱὸς ε
τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀπο
κριθείς, εἶπε· Γέγραπται· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρω
πος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ
Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν Πόλιν, κα
ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ Ἱεροῦ· καὶ λέγει αὐτῷ· Ε
Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ· « Ὅτ
τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦ
σί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. » Ἔφη αὐ
τῷ ὁ Ἰησοῦς· Πάλιν γέγραπται· « Οὐκ ἐκπειράσεις Κύριον τὸ
Θεόν σου » Πάλιν, παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑ
ψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κό
σμου καὶ τὴν δόξαν αὐτῶν· καὶ λέγει αὐτῷ· Ταῦτα πάντα σο
δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς
Ὕπαγε ὀπίσω μου Σατανᾶ· γέγραπται γάρ· « Κύριον τὸν Θεό
σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις ». Τοτε ἀφίησιν αὐτὸ
ὁ διάβολος· καὶ ἰδοὺ, Ἄγγελοι προσῆλθον, καὶ διηκόνουν αὐτῷ

ΤΗ ΚΥΡΙΑΚΗ ΜΕΤΑ ΤΑ ΦΩΤΑ

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Δ'. 7-12

Ἀδελφοί, ἑνὶ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρο
τῆς δωρεᾶς τοῦ Χριστοῦ. Διὸ λέγει· Ἀναβὰς εἰς ὕψος, ᾐχ
μαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόματα τοῖς ἀνθρώ
ποις. Τὸ δὲ, ἀνέβη, τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰ
τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀ
ναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα
Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν, Ἀποστόλους, τοὺς δὲ, Προφήτας
τοὺς δὲ, Εὐαγγελιστὰς, τοὺς δὲ, Ποιμένας καὶ Διδασκάλους
πρὸς τὸν καταρτισμὸν τῶν Ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰ
κοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν ο
πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ τῆς ἐπιγνώσεως το

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ματθαῖον. (δ'. 12-17)

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν. Καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ. Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ Προφήτου, λεγοντος· Γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

ΣΗΜΕΙΩΣΕΙΣ

Περὶ Ἀποστόλου, καὶ Εὐαγγελίου

(ά). Ἐὰν παρέλθῃ ἡ μετὰ τὰ Φῶτα Κυριακὴ καὶ μένῃ μία μόνη μέχρι τῆς Α'. Κυριακῆς τοῦ Τριῳδίου, τῇ Κυριακ. ταύτῃ Ἀποστολ. λέγομεν τῆς ΛΒ'. Κύρ. Τέκνον Τιμόθ. πιστός. Σελ. 157. καὶ Εὐαγγελ. τοῦ Ζακχαίου. Τῷ καιρῷ ἐκ. διήρχετο. Σελ. 157

(β'). Ἐὰν μεσολαβῶσι δύο Κυρ. τῇ μὲν Α'. Κυρ. Ἀπόστολον λέγομεν τῆς ΚΘ'. Ἀδελφοί, ὅταν ὁ Χριστὸς φανερωθῇ. Σελ. 149 Εὐαγγελ. τῶν 10 Λεπρῶν Τῷ καιρῷ ἐκ. εἰσερχομένου. Σελ. 150. Τῇ δὲ Β. Κυρ. Ἀπος. καὶ Εὐαγγέλ. τῆς ΛΒ'. Κυρ. Σελ. 157.

(γ'.) Ἐὰν μεσολαβῶσι τρεῖς Κυριακαὶ, τῇ μὲν Α'. Κυριακῇ, Ἀποστ. ΚΘ' Κυρ. ἀδελ. ὅταν ὁ Χριστός. Σελ. 149 Εὐαγ. τῶν 10 λεπρῶν. Σελ. 150 τῇ δὲ Β'. Κυρ. Ἀπόστ. καὶ Εὐαγ. τῆς ΛΒ'. Κυριακῆς. Σελ. 157. τῇ δὲ τρίτῃ Κυρ. Ἀποστολ. λέγομεν τῆς ΙΖ' Κυρ. Ἀδελφ. ὑμεῖς ἐστέ. Σελ. 114. Εὐαγγέλ. τῇ ΙΖ'. Κυρ. Ματθ. τῆς Χαναναίας. Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν. Σελ. 115

(δ'). Ἐὰν δὲ μεσολαβῶσι τέσσαρες Κυριακαὶ, τῇ μὲν Α'. Κυρ. Ἀπόστολον, τῇ ΚΘ'. Κυρ. ἀδελφ. ὅταν ὁ Χριστος. Σελ. 149. Εὐαγγέλ. τῶν δέκα λεπρῶν. Σελ. 150. Τῇ δὲ Β'. Κυρ. Ἀπος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ΑΒ'. Κυριακῆς Τέκνον Τιμόθεε, πιστὸς ὁ λόγος. Σελ 157. Εὐαγγέλ. δὲ τῇ ΙΓ'. Λουκᾶ. Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπος τις προσῆλθε τῷ Ἰησοῦ. Σελ. 152. Τῇ δὲ τρίτῃ Κυρ. Ἄπος τῆς ΑΒ'. Τέκνον Τιμοθεε, πιστὸς ὁ λόγος. Σελ 157. καὶ Εὐαγγέλ. τοῦ Ζακχαίου. ΙΕ'. Κυριακῇ τοῦ Λουκᾶ. Σελ. 157. Τῇ δὲ Δ'. Κυριακῇ Ἀπόστολον λέγομεν, τῇ ΙΖ'. Κυριακῇ ἀδελφοί, ὑμεῖς ἐστὲ ναὸς Θεοῦ. Σελ 114 Εὐαγγέλ. τῆς Χαναναίας Σελ. 115.

15 — Ὁσίου Παύλου τοῦ Θηβαίου, Ἰωάννου τοῦ Καλυβίτου καὶ τοῦ ἁγίου Πανσοφίου

Ἀπόστολος. Ἀδελφοὶ ὁ καρπὸς. ὅρα ΚΖ'. Σαβ. Σελ. 142.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος μὴ φοβοῦ. Σαβ. ιά. Λουκ. 145.

16 — Ἡ προσκύνησις τῆς τιμίας ἁλύτεως Πέτρου τοῦ Ἀποστόλου. ἁγίων μαρτ. καὶ αὐταδέλφ. Πευσίππου, Ἐλασίππου, Μεσίππου, καὶ Νεονίλλης τῆς Μάμμης αὐτῶν· Δαμασκηνοῦ Ἱερ.

Ἀπόστολος. Κατ' ἐκεῖνον τὸν καιρόν. ὅρα Σελ. 38.

Εὐαγγέλιον. Τῷ καιρῷ ἐκ. ἐφανέρωσεν. Ἑωθ. ΙΑ'. Σελ. 60.

(*) 17 — Ὁσίου Ἀντωνίου τοῦ Μεγάλ. Ἀχιλλᾶς, καὶ Ἀντωνίου.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παραδοθη. ὅρα 5 Δεκεμβρίου Σελ, 365.

Ἀπόστολος

Ἀδελφοὶ, πείθεσθε τοῖς ἡγουμένοις. ὅρα 6 Δεκεμβρ. Σελ. 366

Εὐαγγέλιον Λειτουργίας

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς. ὅρα 6 Δεκεμβρ. Σελ. 366.

(*) 18 — Ἁγίων Πατέρων Ἀθανασίου καὶ Κυρίλλου Πατριαρ. Ἀλεξανδρείας· ὁσ. Μαρκιανοῦ, Θεοδούλης, καὶ Ξένης.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Εἶπεν ὁ Κύριος· Ἐγὼ εἰμὶ ἡ θύρα. ὅρα 13 Νοεμβρ. Σελ. 358

(**) Εἰ τύχωσι ἐν Κυρ. Ἀπός. τῶν ἁγίων, καὶ Εὐαγ τῆς Κυριακῆς. Ἡ αὐτὴ τυπικὴ διάταξις ἐὰν τύχ· ἐντὸς τοῦ Τριῳδ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.
Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (ιγ'. 7-16).

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαὸν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύρ. Ὑμεῖς ἐστὲ τὸ φῶς. ὅρα 12 Νοεμβρ. σελ. 357.

19 Ὁσ. Μακαρίου τοῦ Αἰγυπτίου, ἁγίας Εὐφρασίας· ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Γρηγορίου τοῦ Θεολόγου Ἀρσενίου Ἐπισκ. Κερκύρας· καὶ ἡ ἀνάμνησις τοῦ ἐν Νικαίᾳ μεγίστου Θαύματος ὅτε ὁ Μέγας Βασίλειος διὰ προσευχῆς ἀνέωξε τὰς πύλας τῆς Καθολικῆς Ἐκκλησίας καὶ παρέθετο αὐτὴν τοῖς Ὀρθοδόξοις. (*) 20 — Εὐθυμίου τοῦ Μεγάλου ἀγ. Μαρ. Βάσσου, Εὐσεβίου, Εὐτυχίου, Βασιλίδου, Θύρσου, Ζαχαρίου τοῦ νεομάρτυρος. καὶ τοῦ Εὐσεβεστάτ. Λέοντος τοῦ Βασιλέως· ἁγ Ἰννᾶ, Πιννᾶ, Ῥιμμᾶ.

(*) Εἰ τύχ. ἐν Κυρ. ἢ καὶ μετὰ Τριῳδίου, ὅρα εἰς τὰς 17.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος πάντα μοι παρεδόθη. ὥρα 5 Δεκεμβ. Σελ 365.

Ἀπόστολος Προκείμενον ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ. Ἄσατε τῷ Κυρίῳ ἆσμα καινόν. Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότ. ὥρα ΙΕ'. Κυρ. Σελ. 108.

Εὐαγγέλιον Λειτουργίας

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς. ὥρα 6 Δεκεμβρ. Σελ. 366

21 — Ὁσίου Μαξίμου, Ζωσίμου Ἐπισκ. Συρακούσης· ἁγίων Μαρτ. Νεοφύτου, Εὐγενίου, Οὐαλλεριανοῦ, Ἀκύλα καὶ Κανδίδου. (*) 22 — Τιμοθέου τοῦ Ἀποστόλου. μαθητοῦ Παύλου τοῦ Ἀποστόλου. Ἀναστασίου Ὁσιομάρτυρος τοῦ Πέρσου· ἁγ. Μαρτ. Μανουὴλ, Σιωνίου, Πέτρου, Λέοντος, Γαβριὴλ, Παρόδου, Γεωργίου.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Τιμόθεον Β'. Ἐπιστολὴ Παύλου τὸ Ἀνάγνωσμα. (Α'. 3 9)

Τέκνον Τιμόθεε, χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας· ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶ πληρωθῶ, ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ· πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Δι' ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου. Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. Μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ· ἀλλὰ συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Πᾶς ὅστις. Ὥρα Α'. Κυρ. Ματθ. Σελὶς, 67·

(*) Εἰ τύχ. ἡ 22 ἐν Κυρ. ἅπαντα τὰ τῆς Κυριακ. ὥρα Πασχάλ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

23 — Κλήμεντος Ἐπισκ. Ἀγκύρας Ἀγαθαγγέλου Μάρτυρ. Ὁσίων Εὐσεβίου, Σαλαμάνου, καὶ Μαϋσαμᾶ τοῦ Σύρου.

24 — Ἁγίας Ξένης· ἁγ. Μαρτ. Παυσιρίου, Παύλου, καὶ Θεοδοτίωνος τῶν αὐταδέλφων· Ἑρμογένους, Μηνᾶ, Βαρσίμου, Φίλωνος Ἐπισκ Καλπασίου, Φιλίππου Πρεσβυτέρου, Ζωσιμᾶ, Μακεδονίου, Ἑλλαδίου. ἁγ. Προφ. Προδρόμ. καὶ Βαπτιστοῦ Ἰωάννου πλησίον τοῦ Τάρου· Ἱερομ. Βαβύλα Τιμοθέου, Ἀγαπίου, καὶ ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Ἀναστασίου τοῦ Πέρσου.

(*) 25 — Γρηγορίου Ἀρχιεπ. Κωνσαντινουπ. τοῦ Θεολόγου. Ὁσ. Πουπλίου, Μάρκ, Δημητρίου Σκευοφύλακος, Καστίνου Ἐπισκόπου Βυζαντίου, Αὐξεντίου, ἁγίας Μεδούλης, καὶ Ἀπολλώς.

Εὐαγγέλιον τοῦ Ὄρθρου, Ἀπόστολον, καὶ Εὐαγγέλιον Λειτουργίας, ζήτει εἰς τὰς 13 Νοεμβρίου Σελὶς 357—358.

26 — Ὁσίου Ξενοφῶντος καὶ τῆς Συμβίας αὐτοῦ Μαρίας, μετὰ τῶν δύο τέκνων αὐτῶν Ἀρκαδίου, καὶ Ἰωάννου· ἁγ. Συμεὼν, Γαβριὴλ, Ἀμμωνᾶ. Ἀνανίου Πρεσβυτ. Πέτρου Δεσμοφύλακος.

(*) 27 — Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Ἰωάννου τοῦ Χρυσοστόμου Ἀρχιεπ. Κωνσταντινουπόλ. ὁσ. Κλαυδίνου, Πέτρου τοῦ Αἰγυπτίου, καὶ ἡ ἁγία Μαρκιανὴ ἡ Βασίλισσα.

Ὄρθρου Εὐαγ. Ἀπόστολ. καὶ Λειτουρ. Εὐαγ. ὅρα 13 Νοεμβρ.

28 — Ἐφραὶμ τοῦ Σύρου. Παλαδίου, Ἰακώβου τοῦ Ἀσκητοῦ, καὶ ἡ ἁγία Χάρις.

Ἀπόστολος Ἀδελφοί, ὁ καρπός. ὅρα Σαβ. ΚΖ'. Ἑβδ Σελ. 142

Εὐαγγέλιον. Τῷ καιρῷ ἐκ. ἔστη ὁ Ἰησοῦς. 6 Δεκεμ. Σελ. 366

29 — Ἡ Ἀνακομιδὴ τοῦ λειψάνου Ἰγνατίου Ἱερομάρ. Βαρσιμαίου Ἐπισκ. Ἐδέσσης· ὁσ. Ἀφραάτου ἁγ. Μαρτ. Ὑπερεχίου, Ἀβίβου, Ἰουλιανοῦ, Ῥωμανοῦ, Ἰακώβου, Παρηγορίου, Σιλουανοῦ ἐπισκ Λουκᾶ διακόνου, Μωκίου, Σαρβύλου, καὶ Βεβαίας.

(*) 30 — Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν με-

(**) Εἰ τύχωσι τῷ Σαβ. τῶν ψυχῶν, ἡ ἀκολουθία τῶν ἁγ. μετατίθεται καὶ ψάλλετ. πρὸ μιᾶς ἡμέρας ἤτοι τῇ Παρασκευῇ. ἐπίσης καὶ τῶν τριῶν Ἱεραρχῶν· Εἰ τύχοι ἐν Κυρ. ἢ καὶ μετὰ Τριῳδίου, Ἀποστολος τῶν ἁγίων, καὶ Εὐαγγέλ. τῆς Κυριακ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάλων Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἱερομ. Ἱππολύπου Πάπα Ῥώμης· Κενσουρίνου, Σαβαΐου, Χρυσῆς Φιλίκου, Βενερίνου, Ἑρμοῦ, Ἀμανδίνου, Τριβούνου, Στυρακίνου, Μαύρου, καὶ Ἀρχελάου.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα. ὥρα 13 Νοεμβρ. Σελ. 358.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀδελφοί, μνημονεύεται. Ὥρα 18 Ἰανουαρίου Σελὶς 397.

Εὐαγγέλιον Λειτουργίας.

Εἶπεν ὁ Κύρ. Ὑμεῖς ἐστὲ τὸ φῶς. ὥρα 12 Νοεμβρ. Σελ. 357

31 — Ἁγίων Ἀναργύρων Κύρου καὶ Ἰωάννου· ἁγίας Ἀθανασίας μετὰ τῶν τριῶν θυγατέρων αὐτῆς· Θεοδότης, Θεοκτίστης, καὶ Εὐδοξίας· ἁγίων Μαρτύρων Οὐϊκτωρίνου, Νικηφόρου, Κλαυδίου, Διοδώρου, Παπία, καὶ Σαραπίνου, οἱ ἐν Κορίνθῳ· ἁγίας Μάρτ. Τρυφαίνης, καὶ Ἠλίας ὁ ἐν Καλαμάτα τῆς Πελοποννήσου.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει 1 Νοεμβρίου Σελὶς, 353.

ΜΗΝ

ΦΕΒΡΟΥΑΡΙΟΣ

Ἔχων ἡμέρας 28 ἤ ἔστι Βίσεκτος 29.
Ἡ ἡμέρα ἔχει ὥρας 11 καὶ νὺξ ὥρας 13.

(*) 1 — Ἁγίου Μάρτ. Τρύφωνος· Καρίων, Θεΐων, Σαύρου, Ῥευκάτου, Σατορνίλου, Βενδιμιανοῦ, Βασιλείου Ἀρχιεπ. Θεσσαλονίκ.

Εἰ τύχοι ἐν Κυριακῇ, ἤ καὶ ἐντὸς τοῦ Τριῳδίου, ἀπόστολ. ἀνάγνωθι τοῦ ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Τριῳδίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Η'. 28-39)

Ἀδελφοί, οἴδαμεν, ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρησε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν; Ὃς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; Τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν. Τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὃς καί ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; (καθὼς γέγραπται· Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.) Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε Ἄγγελοι, οὔτε Ἀρχαί, οὔτε Δυνάμεις, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Ἰδοὺ δίδωμι. ὥρα Γ'. Σαβ. Λουκᾶ· Σελ. 142.

(*) 2 — Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Ἀγαθοδώρου.

(*) Εἰ τύχ ἐν Κυρ. Ὀρθρ. καὶ Λειτουρ. Εὐαγ. ἀπός. τῆς ἑορτ. Εἰ τύχοι τὸ Σαβ. τῶν ψυχῶν, μετατίθεται ἡ ἀκολουθία τῶν ψυχῶν, καὶ ψάλλετ. τὸ πρὸ αὐτοῦ Σάββατον. Εἰ τύχ ἐν Κυριακῇ μετὰ Τριῳδίου, Ὀρθρ. Εὐαγ. καὶ ἀπός. τῆς ἑορτῆς Εὐαγ· Λειτουργίας. τοῦ Τριῳδίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον. τοῦ Ὄρθρου.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Γ'. 25-32)

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν· Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν· Καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτό, εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Προκείμενον, ἦχος γ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Ζ'. 7 17)

Ἀδελφοί, χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ, μαρτυρούμενος ὅτι ζῇ. Καὶ, ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται· ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ. Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν, (ὁ λαὸς γὰρεπ' αὐτῇ νενομοθέτητο·) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου· Μαρτυρεῖ γάρ· Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Β'. 22-40)

Τῷ καιρῷ ἐκείνῳ, ἀνήγαγον οἱ γονεῖς τὸ παιδίον Ἰησοῦν εἰς Ἱερουσόλυμα, παραστῆσαι τῷ Κυρίῳ, (καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται)· καὶ τοῦ δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Καὶ ἰδοὺ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλὴμ ᾧ ὄνομα Συμεὼν καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ· καὶ Πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Καὶ ἦν Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ Καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· Ἰδοὺ, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον· (καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία)· ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. Καὶ ἦν Ἄννα προφήτις, θυγάτηρ Φανουὴλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ, ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ Ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ, πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν πόλιν αὐτῶν Ναζαρέτ. Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

3 — Συμεὼν τοῦ Θεοδόχου καὶ Ἄννης τῆς Προφήτιδος; ἁγ. μαρτ. Ἀδριανοῦ, Εὐβούλου, Βλασίου, Παύλου, Σίμωνος. Κλαυδίου, Ἡσυχαστοῦ, Βουκόλου, καὶ τοῦ Προφήτου Ἀζαρίου.

4 — Ὁσίου Ἰσιδώρου τοῦ Πηλουσιώτου, Νικολάου, Ἰασίμου, Ἀβραμίου ἐπισκ. καὶ Ἰωάννου ἐν Εἰρηνουπόλει.

5 — Ἁγίας Ἀγάθης, ὁσίου Θεοδοσίου ἐν Σκοπέλῳ, καὶ Πολιεύκτου Πατριάρχου Κωνσταντινουπόλεως.

6 — Ὁσίου Βουκόλου Ἐπισκ. Σμύρνης· Ἰουλιανοῦ Μάρτυρ. Μαξίμου, Εὐγλασίου, Βαρσανουφίου, καὶ Φαύστης.

7 — Ὁσίου Παρθενίου Ἐπισκ. Λαμψάκου· Λουκᾶ τοῦ ἐν Ἑλλάδι, Ἀτρίωνος Ἐπισκόπου Κύπρου, Πέτρου, καὶ Θεοπέμπτου.

8 — Θεοδώρου τοῦ Στρατηλάτου, Περγέτου, Στεφάνου, Προφ. Ζαχαρίου. Μάρθα καὶ Μαρία αἱ ἀδελφαί. ὅσ. Λυκαρίων·

9 — Ἁγίων Μαρτ. Νικηφόρου, Μαρκέλλου, Ἐπισκ. Σικελίας· Φιλαγρίου Ἐπισκ Κύπρου, Πανκρατίου Ἐπισκ. Ταυρομενίου, ὁσ. Ῥωμανοῦ τοῦ Κιλικος, καὶ Πέτρος ὁ Δαμασκηνός.

Ἀπόστολος Προκείμενον, ἦχος. δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, ὡς τέκνα φωτός. ὅρα Δευτ. ἁγ. Πνεύματ. Σελ. 63.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν (ΚΑ'. 12-19)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδοντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ἣ οὐ δυνήσονται ἀντιπεῖν οὐδὲ ἀντιστῆναι πάν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ θριξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τας ψυχὰς ὑμῶν.

(*) 10 — Ἁγίου Ἱερομάρ χαραλάμπους· Πορφυρίου, Βάπτου, Ἐνναθᾶ, Οὐκλεντίνης, ὁσ, Ζήνωνος, Ἀναςτάσίου Ἀρχιεπ. Κως.

Ὄ ρ θ ρ ο υ Ε ὐ α γ γ έ λ ι ο ν.

Εἶπεν ὁ Κύριος· Προσέχετε. Ὥρα 9 Φεβρουαρίου. Σελ 404.

Ἀ π ό σ τ ο λ ο ς

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ. ὥρα 26 Ὀκτωβρίου Σελ. 351

Ε ὐ α γ γ έ λ ι ο ν Λ ε ι τ ο υ ρ γ ί α ς.

Εἶπεν ὁ Κύριος· Ταῦτα ἐντέλλομ. ὥρα Σαβ. Γ'. Ἑβδ, Σελ. 32.

11 — Βλασίου Ἀρχιεπ. Σεβαστείας· ἁγίας Θεοδώρας τῆς στερεωσάσης τὴν Ὀρθοδοξίαν. Ἡ εὕρεσις τοῦ λειψάνου Ζαχαρίου τοῦ Προφήτου, ἁγίου Γεωργίου τοῦ Σέρβου.

Ἀπόστολος. Ἀδελφοί, ἔχοντες. ὥρα Γ'. Κυ. Νης Σελ 183

Εὐαγγέλιον. Τῷ καιρῷ ἐκ. προσκαλεσάμενος. 1 Νοεμβρ. 354

(*) Εἰ τύχ, ἐν καθημερινῇ ἀπὸ τῆς ἐνάρξεως τοῦ Τριῳδίου μέχρι τῆς Παρασκευῆς τῆς Τυρινῆς, ἀπόςολ. καὶ Εὐαγ τοῦ ἁγίου. Εἰ τύχ. ἐν Κυρ. ἢ καὶ εἰς τὰς τέσσαρας Κυριακὰς τοῦ Τριῳδίου Ἀπόστ. τοῦ ἁγίου, καὶ Εὐαγ, τῆς Κυριακῆς τοῦ Τριῳδίου. Εἰ τύχ. τῷ Σαβ. τῶν ψυχῶν, ἡ ἀκολουθία τοῦ ἁγίου, μετατίθεται καὶ ψάλ τῇ Παρασκευῇ. μετὰ τῆς ἀποδόσ. τῆς Ὑπαπαντ. Εἰ τύχ. τῷ Σαβ. τῆς Τυρινῆς, Ἀπός. τοῦ ἁγ. Εὐαγ. τῶν Ὁσίων. Εἰ τύχ. τῇ Δευτέρᾳ τῆς Α'. Ἑβδομ. τῶν Νηστειῶν, ἡ ἀκολουθ· τοῦ ἁγίου ψάλ. τῇ Κυρ τῆς Τυρινῆς ἀπός. τοῦ ἁγ. Εὐαγ. Τυριν. Εἰ τύχ. τῇ Τρίτῃ μέχρι τῆς Παρασκευῆς τῆς Α'. Ἑβδομάδος τῶν Νησειῶν, μετὰ τὸ Κατευθυνθήτ. εὐθὺς ὁ ἀπός. καὶ τὸ Εὐαγ. Ἐὰν ὑπάρχει ἀρτοκλασία, μετὰ τὸ πλούτιοι ἐπτώχευσ. ὁ Ἀπόστ. Εἰ τύχ. τῇ Κυρ τῆς Ορθοδοξίας, ἅπαντα τῆς Κυριακῆς. Εἰ τύχ. τῇ Δευτ. ἢ τῇ Τρίτῃ τῆς Β'. Ἑβδ. Νης. ἀπός. Εὐαγ. ἁγίου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 — Μελετίου Ἀρχιεπ. Ἀντιοχείας. Ἀντωνίου Ἀρχιεπτ. Κωνσαντινουπόλ. Σατορνίνου, Πλωτῖνος, καὶ Μαρίας τῆς μετονομασθείσης Μαρῖνος, καὶ Χρῆστος ὁ κηπουρος.

13 — Ὁσ. Μαρτινιανοῦ, καὶ Εὐλογίου, Ἀρχιεπ. Ἀλεξανδρ. Ἀκύλα τοῦ Ἀποστόλου, καὶ Πρισκίλλης.

14 — Ὁσίου Αὐξεντίου, Μάρωνος, καὶ Ἀβραάμ.

15 — Ὀνησίμου τοῦ Ἀποστόλου, Μαΐωρ, καὶ τοῦ ὁσ. Εὐσεβίου.

16 — Ἁγ. Μαρτ. Παμφύλου, Οὐάλεντος, Σελεύκου, Πορφυρίου, Ἰουλιανοῦ, Θεοδούλου, Ἠλία, Σαμουὴλ, Ἰανιὴλ, Μαρουθᾶ, καὶ Φαβλιανοῦ Πατριάρχου Κωνσταντινουπολεως.

17 — Θεοδώρου τοῦ Γήρωνος, ὁσ Θεοστηρικτου, Αὐξιβίου. Μαρκιανοῦ, Πουλχερία, καὶ Μριάμνης ἀδελφῆς Ἀποσ. Φιλίπ.

18 — Λέοντος Πάπα Ῥώμης, Παρηγορίου, Ἀγαπητοῦ Ἐπισκ.

19 — Ἀρχίππου, Φιλήμονος, καὶ Ἀπφίου τῶν ἀποστόλων· ἁγίων μαρ. Θεοδότου, Ἡσυχίου, Ἀσκληπιοδότης, ὁσίων Ῥαβουλᾶ, Εὐγενίου, Μακαρίου, καὶ Κόνωνος.

20 — Λέοντος Επισκ. Κατάνης, καὶ Βησσαρίωνος. Σαδὼκ, Ἐπισκ. Ἀγάθωνος Πάπα Ῥώμης. Κινδέου, καὶ Πλωτίνου.

21 — Τιμοθέου τοῦ ἐν συμβούλοις· Εὐσταθίου Πατριάρχου Ἀλεξανδρείας, Ἰωάννου Πατριάρχου Κωνσαντινουπ., Ζαχαρίου

22 — Εὐγενίου, ὁσ. Ἀθανασίου, Λιμναίου, Θαλασσίου, Βαραδάτου, Συνετοῦ, Τελεσφόρου, καὶ Ἀνθούσης.

23 — Ἱερομ. Πολυκάρπου Ἐπισκ Σμύρνης Ἰωάννου, Μωϋσέως, Πολυχρονίου, Ζεβινᾶ, καὶ Γοργονία, ἀδελφὴ Γρηγορ. Θεολόγ.

(*) 24 — Ἡ εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Εὐαγγέλιον τοῦ Ὀρθρου.

Ἐκ τοῦ κατὰ Λουκᾶν (Ζ'. 17-30)

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ λόγος τοῦ Ἰησοῦ ἐν ὅλῃ τῇ Ἰουδαίᾳ, καὶ ἐν πάσῃ τῇ περιχώρῳ. Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τῶν ἔργων αὐτοῦ. Καὶ

(*) Τὴν Τυπικὴν διάταξιν ὅρα τοῦ ἁγ. Χαραλάμπους. 405.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσκαλεσάμενος δύω τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης, ἔπεμψε προς τὸν Ἰησοῦν, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἄλλον προσδοκῶμεν; Παραγενόμενοι δὲ πρός αὐτὸν οἱ ἄνδρες, εἶπον· Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν; Ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπο νόσων καὶ μαστίγων, καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ εἴδετε καὶ ἠκούσατε· ὅτι τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριος ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Ἀπελθόντων δὲ τῶν Ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδοξῳ καὶ τρυφῇ ὑπάρχοντες, ἐν τοῖς βασιλείοις εἰσίν. Ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; Προφήτην; Ναὶ, λέγω ὑμῖν, καὶ περισσοτερον Προφήτου. Οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται· Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδὸν σου ἔμπροσθέν σου. Λέγω γὰρ ὑμῖν μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ Βαπτιστοῦ οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μείζων αὐτοῦ ἐστι. Καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι, ἐδικαίωσαν τὸν Θεὸν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. οἱ δὲ Φαρισαῖοι καὶ οἱ Νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτοὺς μὴ βαπτισθέντες ὑπ' αὐτοῦ.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ
Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους. ὥρα ΙΕ'. Κυρ. Σελ. 108

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον (ΙΑ'. 2-15)

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. Καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; Ναι, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· Ἰδοὺ, ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδὸν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν· Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Πάντες γὰρ οἱ Προφῆται καὶ ὁ νόμος, ἕως Ἰωάννου προεφήτευσαν. Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

25 — Ταρασίου Ἀρχιεπ. Κωνσταντινουπ. Ῥηγίνου ἐπισκ. Ἀντωνίου, Ἀλεξάνδρου, Μαρκέλου Ἐπισκόπ, καὶ Ὑπατίου.

26 — Πορφυρίου Ἐπισκ. Γάζης· Φωτινῆς τῆς Σαμαρειτιδος μετὰ τῶν δύο υἱῶν αὐτῆς, Ἰωσῆς, καὶ Φωτινός· αἱ ἀδελφαὶ αὐτῆς, Φωτὼ, Φωτὶς, Παρασκευῆς, Κυριακῆς· καὶ Σεβαστιανὸς ὁ Δούξ.

27 — Ὁσίου Προκοπίου τοῦ Δεκαπολίτου Στεφάνου, Θαλλελαίου, Γελασίου, καὶ Νήσιος.

28 — Ὁσ. Βασιλείου, καὶ Βάρσου Ἐπισκ. Προτερίου Ἀρχιεπ. Ἀλεξανδρ. Νέστορος, Ἀβίρκιος, ἁγ. Ἀποστόλ. Νυμφᾶς, καὶ Εὔβουλος· ἁγίων γυναικῶν Μαράνας καὶ Κύρας.

29 — Ὁσίου Κασιανοῦ τοῦ Ῥωμαίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ

ΜΑΡΤΙΟΣ

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας, 12 καὶ ἡ νὺξ ὥρ. 12

1 — Ἁγίων Μαρτ. Γυναικῶν Εὐδοκίας ἀπὸ Σαμαρειτῶν, Δομνίνης, καὶ Ἀντωνίνης· οἱ ἅγ. Μάρκελλος, Ἀντώνιος, Σίλβεςρος, Σωφρόνιος, Νεστοριανὸς Χαρίσιος, καὶ Ἀγάπιος.

2 — Ἁγ. Μαρ. Ἡσυχίου, Κοΐντου, Νέστορς, Τριβιμίου, Τρωαδίου, Ἀνδρονίκου, Θεοδότου Ἐπισκ. Κυρηνίας, τῆς Κύπρου, Ἀθανασία, καὶ Εὐθαλίας τῆς Παρθένου.

3 — Ἁγ. Μαρτ. Εὐτροπίου, Κλεονίκου· Βασιλίσκου Ἱερομ. Θεοδωρήτου, Ζήνωνος, Ζωΐλος, καὶ ἡ ὁσία Πιαμοῦν ἡ Παρθένος.

4 — Γερασίμου τοῦ ἐν Ἰορδάνῃ· Παύλου, Ἰουλιανῆς Εὐλαμπίου, Εὐλογίου, Μάρκου, Στρατονίκου, Κόνωνος, καὶ Ἀρχέλαος.

5 — Κόνωνος Ὁσιομάρτ. ἐν Ἰσαυρίᾳ· ἁγίας Ἡραΐδος.

6 — Ἁγ Μαρτ. Θεοδώρου, Κωνσταντίνου, Καλλίστου, Θεοφίλου, Βασσώη, ὁσ. Ἀρκαδίου, Ἡσυχίου, ὑφροσύνου, Μαξίμου, Ἰουλιανοῦ, Εὐβούλου, καὶ ἡ εὕρεσις τοῦ Τιμίου Σταυροῦ μετὰ τῶν Τιμίων Ἥλων, ὑπὸ τῆς Μακαρίας Ἑλένης.

7 — Ἁγ. Ἐπισκόπων, Ἐφραὶμ, Βασιλέως, Ἐλπιδίου, Εὐγενίου, Ἀγαθοδώρου, Αἰθερίου, Ἀρκαδίου, Νέστωρος, Καπίτωνος.

8 — Θεοφιλάκτου Ἐπισκ. Νικομηδείας· ὁσ. Παύλου Πλουσιάδος τοῦ Ὁμολογ· ἁγ. Ἀπος· Ἑρμοῦ· ἅγ. Δίων, καὶ Δομέτιος.

(*) 9 — Τῶν ἁγ. Τεσσαράκοντα Μαρτύρων τῶν ἐν Σεβαστείᾳ

(*) Εἰ τύχ. τῶν Μ'. Μαρτύρ. τῇ Τετάρτῃ μέχρι τῆς Παρασκευῆς τῆς Α' Ἑβδομ. τῶν Νηστειῶν, ὄρθρου Εὐαγ. Ἀπόςολ. καὶ Εὐαγγέλ. Λειτουρ. τῶν ἁγίων· εἰ τύχ. τῷ Σαβ. τῆς αὐτῆς Ἑβδ. Ὄρθ καὶ Λειτουρ. Εὐαγ. τῶν ἁγ. Ἀπός. δὲ τοῦ Τριῳδίου.

Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολος τῶν ἁγίων καὶ Εὐαγ. τοῦ Τριῳδ.

Εἰ τύχ. ἐν Σαβ. τῆς Β'. Γ'. Δ'. Ἑβδομ ἅπαντα τῶν ἁγίων.

Εἰ τύχ. τῇ Πέμπτῃ τοῦ Μεγ. Κανόνος, Ἀπός. Εὐαγ. τῶν Μ'.

Εἰ τύχ. τῷ Σαβ. τοῦ ἀκαθίστου, δὲν ἔχει ὄρθρου Εὐαγγέλ. Ἀπόστολ τῶν ἁγίων καὶ Εὐαγ. Ἀναστᾶσα Μαριάμ. Σελ· 333.

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ πόλει Μαρτυρησάντων· ὧν τὰ ὀνόματα εἰσὶ τὰ ἑξῆς. Ἡσύχιος, Μελίτων, Ἡράκλειος, Σμάραγδος, Οὐάλη, Δόμνε, Εὐνοϊκὸς, Βιβιανὸς, Κλαύδιος, Πρίσκος, Θεοδουλος, Εὐτύχιος, Ἰωάννης, Ξανθίας, Ἡλιανὸς, Σισίνιος, Κυρίων, Ἀγγίας, Ἀέτιος, Φλάβιος, Ἀκάκιος, Ἐκδίκιος, Λυσίμαχος, Ἀλέξανδρος, Ἡλίας, Γοργόνιος, Θεόφιλος, Εὐτύχιος, Ἀθανάσιος, Κύριλλος, Σακερδὼν, Νικόλαος, Οὐαλέριος, Φιλοκτήμων, Σεβηριανὸς, Χουδίων, καὶ Ἀγλαΐος. ἁγ. Οὐρπασιανοῦ, καὶ Καισαρίου, ἀδελφοῦ Γρηγορ. τοῦ Θεολόγ.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Σὺ, Κύριε, φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις ἡμᾶς.
Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(ΙΒ'. 1—12)

Ἀδελφοὶ, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος Μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ ἐκάθισεν. Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Κ'. 1-16)

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅς τις ἐξῆλθεν ἅμα πρωΐ, μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ· Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας, ἐν τῇ ἀγορᾷ ἀργούς. καὶ ἐκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα· καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον· Πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν, εὗρεν ἄλλους ἑστῶτας ἀργοὺς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ· Ὅτι οὐδείς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε. Ὀψίας δὲ γενομένης, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθὸν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σὸν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί. Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι· καὶ οἱ πρῶτοι, ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

10 — Τῶν ἁγ. Μαρτ. Κοδράτου, Ἀνέκτου, Παύλου, Διονυσίου, Κυπριανοῦ Κρήσκεντος, Μαρκινιανοῦ, Μιχαὴλ ὁ Μαυρούδης. καὶ τῆς ὁσίας Ἀναστασίας τῆς Πατρικίας.

11 — Σωφρονίου Πατριάρχου Ἱεροσολύμων. Γεωργίου τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σιναΐτου, Τροφίμου, Θαλοῦ· Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου ἁγίου Ἐπιμάχου, καὶ Πιονίου Πρεσβυτέρ. τῆς ἐν Σμύρνῃ ἁγ. Ἐκκλησίας

12 — Ὁσίου Θεοφάνους τοῦ Ὁμολογητοῦ· Γρηγορίου Πάπα Ῥώμης, Συμεὼν ὁ νέος Θεολόγος, καὶ Φινεές.

13 — Ἡ Ἀνακομιδὴ τοῦ Λειψ. Νικηφόρου Πατριάρ. Κωνσταντινουπ. Ἀφρικανοῦ, Τερεντίου, Ἀβίβου, Χριστίνα ἐκ Περσίδος, καὶ Παυπλίου Ἐπισκόπου Ἀθηνῶν.

14 — Ὁσ. Βενεδίκτου, Εὐτχήμιανος Ἐπισκ. Ἀμψάκου, καὶ Ἀλεξάνδρου τοῦ ἐν Πίδνῃ.

15 — Τῶν ἁγ. Μαρτ. Ἀγαπίου, Ῥωμύλου, Τιμολάου, Νικάνδρου, ἁγ. Ἀπος Ἀριστοβούλου Ἐπισκ. Βρεττανίας, ἀδελφοῦ Βαρνάβα τοῦ Ἀποστόλου· καὶ τοῦ ἁγ. Πλησίου.

16 — Σαβίνου τοῦ Αἰγυπτίου, Ἰουλιανοῦ, Ῥωμανῆς, ὁ ἐν Παρείῳ, Ἀλεξανδρίων Πάπα Ῥώμης, Χριστοδούλου, ὁσ. Ἀνίνας.

— 17 Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ· καὶ μνήμη τοῦ Μεγάλου Σεισμοῦ, ἧς παρ' ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Κύριος ἐπὶ Κωνσταντίνου Βασιλέως· Ὁσ. Θεοστηρίκτου καὶ Παύλου.

18 — Κυρίλλου Ἀρχιεπ. Ἱεροσολύμ. Τροφίμου, Εὐκαρπίωνος καὶ Μαρίας ἀδελφῆς τοῦ Λαζάρου, ὅτε τοὺς πόδας τοῦ Κυρίου νάρδῳ ἀλείψασα, ταῖς θριξὶν ἐξέμαξε.

19 — Χρυσάνθου καὶ Δαρείας τῶν μαρτ. Κλαύδιος καὶ Ἱλαρία ἡ σύζυγος αὐτοῦ, μετὰ δύο τέκνων αὐτῶν· Ἰάσωνος, καὶ Μαΰρου· οἱ ἅγ. Διόδωρος, Παγχάριος, καὶ Μαριανὸς ὁ Διάκονος.

20 — Τῶν ἁγ. Ἀββάδων, ὑπὸ τῶν Μαύρων ἀναιρεθέντων ἐν Μοναστηρίῳ Σάββα τοῦ Ἡγιασμένου· Ἀκύλας ὁ Ἔπαρχος, Ἐμμανουὴλ, Δωλίων, Ῥοδινὸς, καὶ Νικήτα Ἐπισκ. Ἀπολλωνιάδος· ἁγ. 7 Γυναικῶν τῶν ἐν Ἀμινσῷ· Ἀλεξανδρείας, Κλαυδίας, Εὐφρασίας, Ματρώνης, Ἰουλιανῆς, Εὐφημίας, καὶ Θεοδοσίας.

21 — Ἰακώβου Ἐπισκ. καὶ Βηρύλλου, Ἐπισ. Κατάνης· Θωμᾶ Πατριάρ. Κων/πόλεως. Φιλήμονος, Δομνίνου, Σεραπίων, τῶν μαρ.

22 — Βασιλείου Ἱερομάρ ἁγίων Γυναικῶν, Καλλινίκη, Βασίλεισα, καὶ Δροσίδος, θυγατρὸς Τραϊανοῦ τοῦ Βασιλέως.

23 — Ἁγίων Μαρτύρ. Νίκωνος, καὶ Δομετίου.

24 — Προεόρτια τοῦ Εὐαγγελισμοῦ· ὁσ. Ἀρτέμονος Ἐπισκ. Σελευκίας· Ὁσίου Ζαχαρίου, καὶ Μαρτῖνος ὁ Θηβαῖος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 25 — Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας. ἁγ. Πελαγίας, καὶ Θεοδοσίας.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Ἐν ταῖς ἡμέραις ἐκ. ἀναστᾶσα Μαριάμ. ὅρα Σεπτεμ. 8 Σελ. 333

Ἀπόστολος. Προκείμενον, ἦχος γ'.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

Ἀδελφοί, ὁ Ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Σελὶς, 288.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν (Α'. 24-38)

Ἐν ταῖς ἡμέραις ἐκείναις, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖ-

---

(*) Εἰ τύχοι τῇ Παρασκευῇ τῆς Γ'. ἢ Δ'. Ἑβδομ. τῶν Νηστειῶν, Ὄρθρου καὶ Λειτουργ. Εὐαγγέλ. Ἀπόστολ. τῆς Ἑορτῆς. Τὸ δὲ Σάβ. Ἀπός. καὶ Εὐαγ. τοῦ Ἀρχαγγέλ. ὅρα 8 Νοεμβρ. Εἰ τύχ. ἐν Σαβ. τῆς Γ'' ἢ Δ'' ἢ Ε'. Ἑβδομ. ἅπαντα τῆς ἑορτῆς.

Εἰ τύχ. τῇ Γ'. Κυρ. τῆς Σταυροπροσκυνήσ. Ὄρθου καὶ Λειτουργ. Εὐαγ. τῆς Θεοτόκου· Ἀπος. Ἀδελφοὶ ἔχοντες. Σελ. 183.

Εἰ τύχ. τῇ Ε'. Κυρ. Τῷ Σαβ. Ἀπόστολ. Ἀδελ. εἶχεν ἡ πρώτη σκηνή. Σελ. 361 Εὐαγ. δὲ Ἀναστᾶσα Μαριάμ· Σελὶς 333. Τῇ δὲ Κυρ. Ὄρθρ. καὶ Λειτουργ. Εὐαγ. ἅπαντα τῆς Θεοτόκου.

Εἰ τύχ. ἐν καθημερινῇ, ἢ τῇ Πέμπτῃ τοῦ Μεγάλου Κανόνος, ἢ τῷ Σαββάτῳ τοῦ ἀκαθίστου, ἢ τῇ Παρασκευῇ τῶν Βαΐων, Ὄρθρου καὶ Λειτουργ. Εὐαγγέλ. καὶ Ἀπόστολ. τῆς ἑορτῆς.

Εἰ τύχ. τῷ Σαβ. τοῦ Λαζάρου, Ὄρθρου Εὐαγ. Ἐν ταῖς ἡμέραις ἐκείναις Συνέλαβεν. Ἀπόστολ. ἀδελ. ὁ ἁγιάζων. Εὐαγγέλ. Λειτουργ. τοῦ Λαζάρου Σελὶς 192.

Εἰ τύχ. τῇ Κυρ. τῶν Βαΐων, Ὄρθρου Εὐαγ. Ἐν ταῖς ἡμέραις ἐκ. Συνέλαβεν Ἀπός. ἀδελφοὶ ὁ ἁγιάζων. Εὐαγ. Λειτουρ. Πρὸ ἓξ ἡμερῶν Σελ. 196.

Εἰ τύχ. τῇ Μεγ. Δευτέρᾳ, ἢ τῇ Μ. Τρίτῃ, ἢ τῇ Μ. Τετάρτῃ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεν ἀρελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ, ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρὲτ, πρὸς Παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου Δαυΐδ· καὶ τὸ ὄνομα τῆς Παρθένου, Μαριάμ. Καὶ εἰσελθὼν ὁ Ἄγγελος πρὸς αὐτὴν, εἶπε· « Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν». Ἡ δὲ ἰδοῦσα, διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ· καὶ διελογίζετο, ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ Ἄγγελος αὐτῇ. Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδοὺ, συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ Πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν Ἄγγελον· Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω: Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδοὺ, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα Υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ Ἄγγελος.

ἀφ' ἑσπέρας ψάλ. ὁ Μ. Ἑσπερινὸς, καταλιμπάνεται δὲ ὁ Νυμφίος, διὰ τὸ αἰδέσιμον τῆς ἡμέρας· τὸ πρωΐ, ἅπαντα τῆς ἑορτῆς.

Εἰ τύχ. τῇ Μ. Πέμπτῃ, Ὄρθρου Εὐαγ. Συνέλαβεν Ἐλισάβετ Ἀπόστ. ἀδελφοὶ, ὁ ἁγιάζων, καὶ Εὐαγ Λειτουρ. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Οἴδατε. Σελὶς, 242.

Εἰ τύχ. τῇ ἁγίᾳ καὶ Μ. Παρασκευῇ, ἢ τῷ Μ'. Σάββατον, ἡ ἀκολουθία τοῦ Εὐαγγελισμοῦ μετατίθεται καὶ ψάλλεται τῇ Κυριακῇ τοῦ Πάσχα. Ὄρθρου Εὐαγ. Ὀψὲ Σαββάτων. Σελὶς, 6. Εἶτα ὁ Ἀρχιερεὺς ἢ Προϊστάμ. θυμιᾷ τὸ Ἱερὸν Εὐαγγέλ. καὶ λέγων· Δόξα τῇ ἁγίᾳ καὶ Ὁμοουσίῳ καὶ Ζωοποιῷ κτλ. καὶ ἄρχεται ψάλ. τὸ Χριστὸς Ἀνέστη ἐκ γ'. τὸ αὐτὸ καὶ οἱ χοροί· εἶ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26 — Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ· ἁγ 26 Μαρτ. Βαθούσις, καὶ Οὐΐρκας μετὰ δύο υἱῶν αὐτῶν καὶ τριῶν θυγατέρων· Ἀρπύλλας μονάζων· λαϊκοὶ δὲ Ἀβήπας, Ἀγνᾶς, Ῥάξ, Ἠγάθραξ, Ἡσκόος, Σύλας, Σίγητζας, Σουηρίλλας, Θέρμας, Σείμβλας, Φίλγας· ἁγ. Γυν. Ἄννα, Ἀλλὰς, Βάρις, Μωϊκὼ Μαμύκα, Οὐΐρκὼ, καὶ Ἀνιμαΐς. ἁγ. Κοδράτου, Θεοδοσίου, Ἐμμανουήλ.

27 — Ματρώνης τῆς ἐν Θεσσαλονίκῃ· ὁσ. Κύρικος, ἁγ. μαρ. Φιλητοῦ καὶ Λυδίας τῆς γυναικὸς αὐτοῦ, καὶ τέκνων Μακεδονίου, Θεοπρεπίου, Κρονίδου, Κομενταρισίου, Ἀμφιλοχίου, Δουκός-Ἰωάννης, Βαρούχιος, Προφ. Ἀνανί· ὁσ. Παύλου, Ἐπισκ. Κορίνθου καὶ Εὐτυχίου.

28 — Ἰλαρίωνος, τοῦ νέου Ἡγουμένος τῆς Μονῆς Πελεκιτῆς καὶ Ἄθλησις ἁγ. Ἡρωδίωνος ἑνὸς τῶν 70 Ἀποστόλων.

29 — Ἁγ. Μαρτ. Μάρκου ἐπισκ. Ἀρεθουσίων· Κυρίλλου Διακόνου, Ἰωνᾶ, Βαραχησίου, ὁσ. Εὐσταθίου Κίου τῆς Βιθυνίας.

30 — Ἰωάννου τοῦ Συγγραφέως τῆς κλίμακος, ἁγία Εὐβουλη ἡ Μήτηρ τοῦ ἁγίου Παντελεήμονος· καὶ τοῦ Προφ. Ἰωάδ.

Ἀπόστολος Προκείμενον, Ἦχος. βαρύς.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων;

Ἀδελφοί, ὁ καρπός. ὅρα Σαβ. τῆς ΚΖ'. Ἑβδομ. Σελ. 142.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύρ. πάντα μοι παρεδόθη. ὅρα 5 Δεκεμβρ. Σελ. 365

31 — Ὑπατίου Ἐπισκ. Γαγγρῶν· Ἀκακίου Ἐπισκ. Μελιτινῆς, Αὐδᾶ ἐπισκ. Βενιαμὶν Διακόνου, καὶ τοῦ ἁγ. Μενάνδρου.

τα ψάλ. τὸ Τροπάριον. Σήμερον τῆς Σωτηρίας. Καὶ εὐθὺς ὁ Κάνων τοῦ Πάσχα Μετὰ δὲ τὴν ς ᾠδὴν καὶ τοῦ οἴκου, τοῦ Πάσχα καὶ τῆς ἑορτῆς, εὐθὺς τὸ Προκείμ. Εὐαγγελίζεσθαι ἡμέραν ἐξ ἡμέρας, κτλ. καὶ τὸ Εὐαγγέλ. τοῦ Ὄρθρου Ἐν ταῖς ἡμέραις ἐκείναις συνέλαβεν. Ἀπόστ. καὶ Εὐαγ. τοῦ Πάσχα Σελ. 7—8.

Ἡ αὐτὴ τυπικὴ διάταξις ὅταν συμπέσῃ τῇ Κυρ. τοῦ Πάσχα ἢ τῇ Δευτέρᾳ, ἢ τῇ Τρίτῃ, ἢ τῇ Τετάρτῃ τῆς Διακαινησίμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ
ΑΠΡΙΛΙΟΣ

Ἔχων ἡμέρας 30. ἡ ἡμέρα ἔχει ὥρας 13, καὶ ἡ νὺξ ὥρας 11.

1 — Ὁσίας Μαρίας τῆς Αἰγυπτίας· Μακαρίου Ἡγουμένου τῆς πελεκιτῆς· ἁγ. μαρτ Βασιλείδου, Γεροντίου, καὶ Ἄχαζ.

Ἀπόστολος

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν. 25 Νοεμβρ. Σελ. 362.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην. (Η'. 3-11)

Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τῷ Ἰησοῦ οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα ἐν μοιχείᾳ κατειλημμένην· καὶ στήσαντες αὐτὴν ἐν μέσῳ, λέγουσιν αὐτῷ· Διδάσκαλε, αὕτη ἡ γυνὴ κατειλήφθη ἐπαυτοφώρῳ μοιχευομένη· ἐν δὲ τῷ νόμῳ Μωσῆς ἡμῖν ἐνετείλατο τὰς τοιαύτας λιθοβολεῖσθαι· σὺ οὖν τί λέγεις; Τοῦτο δὲ ἔλεγον πειράζοντες αὐτόν, ἵνα ἔχωσι κατηγορεῖν αὐτοῦ. Ὁ δὲ Ἰησοῦς κάτω κύψας, τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν. Ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, ἀνακύψας εἶπε πρὸς αὐτούς. Ὁ ἀναμάρτητος ὑμῶν, πρῶτος βαλέτω τὸν λίθον ἐπ' αὐτήν. Καὶ πάλιν κάτω κύψας, ἔγραφεν εἰς τὴν γῆν. Οἱ δὲ ἀκούσαντες, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι, ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν ἐσχάτων· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς, καὶ ἡ γυνὴ ἐν μέσῳ ἑστῶσα. Ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδένα θεασάμενος πλὴν τῆς γυναικός, εἶπεν αὐτῇ· Ἡ γυνή, ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου; οὐδείς σε κατέκρινεν; Ἡ δὲ εἶπεν· Οὐδείς, Κύριε. Εἶπε δὲ αὐτῇ ὁ Ἰησοῦς· Οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου, καὶ μηκέτι ἁμάρτανε.

2 — Ὁσίου Τίτου· ἁγ. Μαρτ. Ἀμφιανοῦ, καὶ Αἰδεσίου, τῶν Ἀδελφῶν· ἁγίου Μάρτ. Πολυκάρπου, καὶ Θεοδώρας Παρθενομάρτ.

3 — Ὁσίου Νικήτα Μονῆς Μηδικίου, καὶ Ἰλλυριού· Ἰωσὴφ τοῦ Ὑμνογράφου· ἁγ. Ἐλπιδηφόρου, Βυθονίου, Γαλύκου, καὶ Δίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 — Ὁσίου Γεωργίου ἐν Μαλαιῷ· Ποπλίου, Πλάτωνος, Ἡγουμ. τῆς Μονῆς τῶν Στουδίων· Οἱ ἅγ. Θεωνᾶς, Φερβῖνος, Συμεών, Θεόδουλος, Ἀγαθόποδος, καὶ Ζωσιμᾶς ὁ κηδεύσας τὴν Ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν· καὶ τῆς ἁγίας Φερβούθας.

5 — Τῶν ἁγίων Μαρτ. Κλαυδίου, Διοδώρου, Οὐίκτωρος, Σεραπίωνος, Παππίου, Νικηφόρου, Θέρμου, Θεοδώρας, Πομπηΐου, Διδύμου, Μαξίμου, Τερεντίου, καὶ Ζήνωνος· ἁγ. Γυναικῶν· Θεοδώρας τῆς ἐν Θεσσαλονίκη, Κυρίας, καὶ Δούλης.

6 — Εὐτυχίου Πατριάρχ. Κωνσατινουπ. Ὁσίας Πλατωνίδος.

7 — Τῶν ἁγ. Μαρτ. Καλλιοπίου, Γεωργίου ἐπισκ. Μιτυλήνης, Ῥουφίνου Διακόνου, καὶ τῆς ἁγίας Ἀκυλίνας.

8 — Ἁγίων. Ἀποστόλ. ἐκ τῶν 70· Ἡρωδίωνος, Ἀγάβου, Ἀσυγκρίτου, Ῥούφου, Φλέγοντος, καὶ Ἑρμοῦ· Ὁσίου Κελεστίνου Πάπα Ῥώμης, καὶ Παυσιλύπου.

10 — Ἁγ. μαρτ. Τερεντίου, Ἀφρικανοῦ, Μαξίμου, Πομπηΐου, Ζήνωνος, Ἀλεξάνδρου, Θεοδώρου, Ἰακώβου, Ἀζᾶ Διακόνου, Δήμου, καὶ τῆς ἁγίας Προφήτιδος Ὀλδᾶς.

11 — Ἀντίπα Ἱερομάρτυρος Ἐπισκόπου Περγάμου. Ὁσίου Φαρφουθίου, καὶ τῆς Ὁσίας Τρυφαίνης.

12 — Ὁσίου Βασιλείου ἐπισκ. Ὁσίας Ἀνθούσης, θυγατρὸς Κωνσταντίνου τοῦ Κοπρωνύμου. Ἀρτέμονος Ἱερομ. ἁγ. μαρτύρ. Δαυΐδ, Πρωτίωνος, Δήμη, Μηνᾶ, καὶ Ἰωάννου.

13 — Μαρτίνου Πάπα Ῥώμης· ἁγ. μαρτ. Μαξίμου, Κυντιλλιανοῦ, Δάδα, Ἐλευθερίου τοῦ Πέρσου, Θεοδοσίου, καὶ Ζωΐλου.

14 — Ἀριστάρχου, Πούδη, καὶ Τροφίμου τῶν Ἀποστόλων ἐκ τῶν 70. ἁγ. μάρ. Ἀρδαλίωνος, καὶ τῆς ἁγίας Θωμαΐδος

15 — Ἁγίων μαρτ. Κρήσκεντος, Θεοδώρου, Ἀναστασίας, Λεωνίδου Ἐπισκόπου Ἀθηνῶν, Παυσολυπίου, καὶ Βασιλίσσης.

16 — Ἁγίων Γυναικῶν Ἀγάπης, Εἰρήνης, Χιονίας, Νίκης, Χαρίσσης, Γαληνῆς, Καλλίδος, Νουνεχίας, καὶ Θεοδώρας· ἁγ. Φηλίκου ἐπισκ. Ἰανουαρίνου, Σεπτεμίνου, καὶ Φουρτουνάτου.

17 — Συμεὼν ἐπισκ. Περσίδος· ἁγ. Γοθαζὰτ, Αὐδελλᾶ, Φουσίκ, Ἀδριανοῦ, καὶ Ἀγαπητοῦ Πάπα Ῥώμης.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 — Ὁσίου Ἰωάννου μαθητοῦ Γρηγορίου τοῦ Δεκαπολίτου· Κοσμᾶ ἐπισκ. Χαλκηδόνος, Σάββα τοῦ Γότθου, καὶ Ἀθανασίας.

19 — Παφνουτίου Ἱερομ. ἁγίων μαρτ. Θεοδώρου ἐν Πέργῃ τῆς Παμφυλίας, καὶ Φιλίππα ἡ μήτηρ ἁγ. Θεοδώρου· οἱ ἅγιοι Σωκράτης, Διονύσιος, Γεώργιος ἐπίσκ. Πισσιδείας, καὶ Τρύφων Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως.

20 — Ὁσίου Θεοδώρου τοῦ Τριχινᾶ. Ἰωάννου Παλαιολαυρίτου, Ζακχαίου τοῦ Ἀποζόλ. ἁγ. Βίκτωρος, Ζωτικοῦ, Ζήνωνος, Ἀκινδύνου, Καισαρίου, Σεβηριανοῦ, Χριστοφόρου, ὁσίου Ἰωάσαφ.

21 — Ἰανουαρίου Ἱερομ. ἐπισ. Προκούλου· ἁγ. Σώσσου, καὶ Φαύστου τῶν Διακόνων· Δησιδερίου, Εὐτυχίου, Ἀκουτίωνος, Ἀπολλὼ, Ἰσαακίου, Κοδράτου, Μαξιμιανοῦ, Πατριάρχ. Κωνσαντ. καὶ Ἀλεξάνδρας Συζύγου Διοκλιτιανοῦ τοῦ Βατιλέως.

22 — Ὁσίου Θεοδώρου τοῦ Συκεώτου ἐπισκ. Ἀναζασιουπόλεως, καὶ Ναθαναὴλ τοῦ Ἀποστόλου, ὅς ἐστιν Σίμων ὁ Ζηλωτὴς, καὶ Νέαρχος ὁ μάρτυς.

(*) 23 — Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. Καὶ τῶν ἁγ. μαρτύρ. Οὐαλερίνου, Ἀνατολίου, Πρωτολέοντος, Γλυκερίου, Δονάτου, Θερινοῦ, καὶ Ἀθανασίου τοῦ ἀπὸ Μάγων.

(*) Εἰ τύχοι τῷ Μ. Σαβ. ἢ τῇ Κυρ. τοῦ Πάσχα, ἡ ἀκολουθία τοῦ ἁγίου μετατίθεται καὶ ψάλ. τῇ Δευτέρα τῆς Διακαινησίμου. Ὄρθρου Εὐαγγέλ. καὶ Ἀπόστολ. τοῦ ἁγίου Εὐαγ. Λειτουργίας τῆς ἡμέρας. Θεὸν οὐδεὶς ἑώρακε πώποτε. ὅρα Σελ. 11.
Εἰ τύχ. ἀπὸ τῆς Δευτέρας μέχρι τοῦ Σαβ. τῆς Διακαινησίμου Ἑβδομ. Ὄρθρου Εὐαγ· καὶ Ἀπόστολον, τοῦ ἁγίου. Εὐαγγέλ. Λειτουργίας τῆς ἡμέρας.
Εἰ τύχ. ἐν μιᾷ τῶν Κυριακῶν ἤτοι· τοῦ Θωμᾶ, τῶν Μυροφόρων, τοῦ Παραλύτου, ἢ τῆς Σαμαρείτιδος, τὸ Ἑωθινὸν Εὐαγγέλιον Ἀπόζολ. τοῦ ἁγίου, καὶ Εὐαγ. Λειτουργίας, τῆς Κυριακῆς.
Εἰ τύχ. μετὰ τὴν Διακαινήσιμον Ἑβδομ. ἐν καθημερινῇ Ὄρθρου καὶ Λειτουργίας Εὐαγ. καὶ Ἀπόστολ. τοῦ ἁγίου.
Εἰ τύχ. τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς, Ὄρθρου Εὐαγγέλ. καὶ Ἀπόστολ. τοῦ ἁγίου· Εὐαγ. Λειτουργ. Τῆς ἑορτῆς μεσούσης. Σελὶς, 37. τὰ αὐτὰ καὶ ἐν τῇ ἀποδόσει τῆς Μεσοπεντηκ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος· Προσέχετε. Ὥρα 9 Φεβρουαρίου. Σελ. 404.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Κατ' ἐκείνον τὸν καιρόν. ὅρα Σαβ. τῆς Δ'. Ἑβδομ. Σελ. 38.

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν. Ὥρα τῷ Σαββάτῳ τῆς Γ'. Ἑβδομάδος Ἰωάν. Σελ. 32.

24 Ὁσίας Ἐλισάβετ· Σάββα τοῦ Στρατηλάτου, Πασικράτους, Βαλεντίωνος, Εὐσέβιος, Νέωνος, Δοῦκας, καὶ Λεόντιος τῶν μαρτ.

(*) 25 — Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου. Τὰ Ἐγκαίνια τῶν Ἀποστόλων Πέτρου καὶ Παύλου, πλησίον τῆς Μεγ. Ἐκκλησίας· ἁγ. Μακεδονίου Πατριάχ. Κωνς. ἁγ. Νίκης.

Ἀπόστολος Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Καθολικῆς Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Ε'. 6-14)

Ἀδελφοί, ταπεινώθητε ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώτῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. Νήψατε, γρη-

(*) Εἰ τύχ. τῇ Δευτέρᾳ τῆς Διακαινησίμου, ἡ ἀκολουθία τοῦ ἁγίου μετατίθεται καὶ ψάλλετ τῇ Τρίτῃ· ἀπόστολ. τῆς ἡμέρας, Ἐν ταῖς ἡμέραις ἐκείαις σταθεὶς ὁ Πέτρος. ὅρα Σελ. 12. Καὶ Εὐαγ. Λειτουργίας, τοῦ ἁγίου. Εἰ τύχ. κατὰ τὰς λοιπὰς τῆς Ἑβδομ. ταύτης ἡμέρας, ἡ αὐτὴ Τυπικὴ διάταξις.
Εἰ τύχ. ἐν Κυριακῇ, Ἑωθινὸν καὶ Λειτουρ. Εὐαγγέλ. τῆς Κυριακῆς· Ἀπόστολον δὲ τοῦ ἁγίου. Εἰ τύχ. τῇ Τεταρτῃ τῆς Μεσοπεντηκοστῆς Ἀπόστολος τοῦ ἁγίου καὶ Εὐαγ. τῆς Μεσοπεντηκος. Εἰ τύχ. ἐντὸς τῆς Ἑβδομ. τῶν Μυροφόρων, ἢ τοῦ Παραλύτου ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος περιπατεῖ, ζητῶν τίνα καταπίῃ· ᾧ ἀντίστητε, στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ (ὡς λογίζομαι,) δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ, εἰς ἣν ἑστήκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τῆς ἐν Χριστῷ Ἰησοῦ

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ὁ ἀκούων.

Ὥρα 8 Νοεμβρίου, Σελ 356.

26 — Ἱερομάρ Βασιλέως ἐπισκ. Ἀμασείας· Ὁσίας Ἰούστας, Γλαφύρας· καὶ τοῦ Ὁσίου Νέστορος.

27 — Συμεὼν ἐπισκ. Ἱεροσολύμ. Ὁσ. Ἰωάννου, Ποπλίωνος, Εὐλογίου, Ἀριστάρχου, Μάρκου, Ζήνωνος, καὶ Λολλίωνος.

28 — Τῶν ἁγ. μαρτ. Θεόγνιδος, Ῥούφου, Ἀντιπάτρου, Θεοστίχου, Ἀρτεμᾶ, Μάγνου, Θαυμασίου, Θεοδότου, καὶ Φιλήμονος.

29 — Ἁγίων Ἀποστόλ. ἐκ τῶν 70. Ἰάσωνος, καὶ Σωσιπάτρου· ἁγίας Κερκύρας, θυγατρὸς Κερκυλλίνου τοῦ Βασιλέως, ἁγ. μαρτ. Ζήνωνος, Βιταλίου, Εὐσεβίου καὶ Νέρωνος.

30 — Ἰακώβου τοῦ Ἀποστόλου ἀδελφοῦ Ἰωάννου τοῦ Θεολόγου· Ὁσ. Κλήμεντος τοῦ Ποιητοῦ, Μαξίμου, καὶ Ἀργυρῆς·

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Κατ' ἐκεῖνον τὸν καιρόν. ὅρα Σαβ. τῆς Δ'. Ἑβδομ. Σελ. 38.

Εὐαγγέλιον

Τῷ καιρῷ ἐκείνῳ συγαλεσάμενος. ὅρα Σαβ. τῆς Ζ'. Ἑβδομ. Λουκᾶ· Σελὶς, 134.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ

ΜΑΪΟΣ

Ἔχων ἡμέρας 31 ἡ ἡμέρα ἔχει ὥρας 14 καὶ ἡ νὺξ ὥρας 10

1 — Ἱερεμία τοῦ Προφήτου καὶ Ἱερομάρτυρος Βατᾶ.

Ἀ π ό σ τ ο λ ο ς

Πρὸς Θεσσαλονικεῖς Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Κεφ. Β'. 14—20.

Ἀδελφοί, ὑμεῖς μιμηταὶ ἐγενήθητε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους Προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος· Ἡμεῖς δὲ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ. Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς (ἐγὼ μὲν Παῦλος) καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. Τίς γὰρ ἡμῶν ἐλπὶς, ἢ χαρὰ, ἢ στέφανος καυχήσεως· ἢ οὐχὶ καὶ ὑμεῖς ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ; Ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

Ε ὐ α γ γ έ λ ι ο ν.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Δ'. 22-30)

Τῷ καιρῷ ἐκείνῳ, ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ Υἱὸς Ἰωσήφ; Καὶ εἶπε πρὸς αὐτούς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρὲ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. Εἶπε δὲ· Ἀμὴν λέγω ὑμῖν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοὺ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ οὐρανός, ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν. Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ Προφήτου ἐν τῷ Ἰσραήλ· καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν ὁ Σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ Συναγωγῇ, ἀκούοντες ταῦτα. Καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν, ἔξω τῆς πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. Αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

(*) 2 — Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου Ἁγ. Ἀθανασίου Πατριάρχου Ἀλεξανδρείας. ἁγ. μαρτύρ. Ἑσπέρου καὶ Ζωῆς, μετὰ τῶν 2 υἱῶν αὐτῶν Κυριακοῦ, καὶ Θεοδούλου.

Ἀ π ό σ τ ο λ ο ς.

Ἀδελφοί, μνημονεύεται. ὅρα Ἰανουαρίου 18. Σελ. 397.

Εὐ α γ γ έ λ ι ο ν

Εἶπεν ὁ Κύριος Ὑμεῖς ἐστὲ τὸ φῶς. ὅρα Νοεμβρ. 12 Σελ. 357.

3 — Ἁγ μαρτ. Τιμοθέου, Μαύρας, Διοδώρου, καὶ Ῥοδοπιανοῦ.

4 — Πελαγίας μάρτυρος, καὶ τοῦ Ὁσίου Ἱλαρίου.

5 — Εἰρήνης Μεγαλομάρτ. ἁγίων μαρτ. Νεοφύτου, Γαΐου, Γαϊανοῦ, καὶ τῶν ἐγκαινείων τῆς Θεοτόκου, ἐν τοῖς Κύρου.

6 — Τοῦ ἁγίου καὶ δικαίου Προφήτου Ἰώβ.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ 1 Μαΐου Σελὶς. 421.

(*) Εἰ τύχ. ἐν μιᾷ τῶν Κυριακῶν τοῦ Πεντηκοσταρίου, ἀνάγνωθι Ἀπόστολον τοῦ ἁγίου, καὶ Εὐαγγέλ. τῆς Κυριακῆς. Εἰ τύχ. τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς, Ἀπός. τοῦ ἁγίου. καὶ Εὐαγγέλ. τῆς Μεσοπεντηκ. Σελ. 37. εἰ τύχ. ἐν τῇ ἀποδόσει τῆς Μεσοπεντηκος. ἀπός. καὶ εὐαγ. τοῦ ἁγ. Εἰ τύχ. τῇ Πέμπτῃ τῆς Ἀναλήψεως μετατίθεται ἡ ἀκολουθία τοῦ ἁγίου καὶ ψάλ. τῇ Παρασκευῇ. ἀπός. καὶ Εὐαγ. τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

7 — Ἀνάμνησιν ἑορτάζομεν τοῦ ἐν οὐρανῷ φανέντος τοῦ τιμίου Σταυροῦ ἐπὶ Κωνσταντίνου Βασιλέως, υἱοῦ τοῦ Μεγάλου Κωνσταντίνου· Κυρίλλου Ἀρχιεπισκ. Ἱεροσολύμ. Ἀκακίου, Μαξίμου, Κοδράτου, καὶ τοῦ Ὁσίου Ἰωάννου τοῦ ψυχαΐτου.

Ἀπόστολος. Προκείμενον, ἦχος ά.

Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
Πρὸς σὲ, Κύριε, κεκράξομαι ὁ Θεός μου.
Ἐν ταῖς ἡμέραις ἐκείναις Ἀγρίππας. ὅρα 21 Ματθ.
Εὐαγγέλιον, τῆς ἡμέρας.

(*) 8 — Τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου· καὶ τοῦ ὁσίου Ἀρσενίου τοῦ Μεγάλου.

Εὐαγγέλιον τοῦ Ὄρθρου.
(Ἀνάγνωθι τὸ ΙΑ'. Ἑωθινὸν Εὐαγγέλιον Σελὶς 60.)

Ἀπόστολος Προκείμενον, ἦχος πλ. δ'.
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δοξαν Θεοῦ.
Καθολικῆς Α'. Ἐπιστολῆς Ἰωάννου τὸ Ἀνάγνωσμα. (Α'. 1-7).

Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν, τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· (καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα, καὶ ἐφανερώθη ἡμῖν·) ὃ ἑωράκαμεν

(*) Εἰ τύχ. τῇ Κυριακῇ τῶν Μυροφόρων, ἢ τοῦ Παραλύτου, ἢ τῆς Σαμαρείτιδος, ἢ τοῦ Τυφλοῦ, ἀπόστολος τοῦ ἁγίου, καὶ Εὐαγ. τῆς Κυρ. Εἰ τύχ. τῇ Δ. τῆς Μεσοπεντηκ. Ὄρθρου Εὐαγ. καὶ ἀπός. τοῦ ἁγίου Εὐαγ. Λειτουργ. τῆς Μεσοπεντ. Σελ 37. Εἰ τύχοι τῇ Τετάρτῃ τῆς ἀποδόσεως τοῦ Πάσχα ὄρθρου Εὐαγ· ἀπός. καὶ Εὐαγ. Λειτουρ. τοῦ ἁγίου. Εἰ τύχ. τῇ Πέμπτῃ τῆς Ἀναλήψεως, Ὄρθρου καὶ Λειτουρ. Εὐαγ. τῆς Ἀναλήψ. Σελ. 51. ἀπός. τοῦ ἁγίου. Εἰ τύχ. τῇ Κυρ. τῶν ἁγίων Πατέρων, Ἑωθ. καὶ Λειτουργ. Εὐαγ. τῆς Κυρ. ἀπός. δὲ τοῦ ἁγίου. Εἰ τύχ. τῇ Παρασκευῇ ἐν ᾗ ἀποδίδοτ. ἡ ἑορτὴ τῆς Ἀναλήψ. ἅπαντα τοῦ ἁγ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. Καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη. Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία. ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

Εὐαγγέλιον Λειτουργίας

Τῷ καὶ καιρῷ ἐκείνῳ, εἱστήκεισαν. ὅρα 26 Σεπτεμ., Σελ. 343.

9 — Τοῦ ἁγ. Προφήτου Ἡσαΐου· ἁγίων μαρτ. Χριστοφόρου, Ἐπιμάχου, καὶ Γορδιανοῦ.

Ἀπόστολον καὶ Εὐαγγέλιον., ὅρα εἰς τὴν 1 Μαΐου. Σελ. 421.

10 — Σίμωνος ἀποστόλου τοῦ Ζηλωτοῦ· ἁγ. μαρτ. Ἀλφιοῦ, Φιλαδέλφου, Κυπρίνου, καὶ τοῦ Ὁσίου Ἡσυχίου τοῦ Ὁμολογ.

Ἀπόστολος ἀδελφοί, ὁ Θεὸς ἡμᾶς. ὅρα Ι'. Κυρ. Σελ. 92.

Εὐαγγέλιον ζήτει εἰς Ἀποστόλους.

11 — Ἀνάμνησις τῶν Ἐγκαινίων τῆς Κωνσταντινουπόλεως· ἁγίου μάρτ. Διοσκόρου, καὶ Μωκίου, Ἱερομάρτυρος.

12 — Τοῦ ἁγίου Ἐπιφανίου ἐπισκ. Κωνσταντίας, καὶ Γερμανοῦ Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

13 — Ἁγίας Γλυκερίας, Σεργίου, καὶ Παυσικάκου ἐπισκόπ.

14 — Ἰσιδώρου μάρτυρος, καὶ Θεράποντος Ἱερομάρτυρος.

15 — Ὁσίου Παχωμίου τοῦ Μεγάλου, καὶ Ἀχιλλίου Μητροπόλεως Λαρίσσης.

16 — Ὁσίου Θεοδώρου τοῦ Ἡγιασμένου.

17 — Ἀνδρονίκου τοῦ Ἀποστόλου, καὶ Ἰονίας. Ἁγίων μαρ. Σολώχονος, Παμφαμὴρ, καὶ Παμφυλών.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

18 — Τῶν ἁγ. μαρτ. Πέτρου, Διονυσίου, Ἀνδρέου, Παύλου, Παυλίνου, Βενεδίμου, Ἡρακλείου, Ἰουλίας, Φαεινῆς, καὶ Χριστίνης.
19 — Πατρικίου ἐπισκ. Προυσσης Ἀκακίου, Μενάνδρου, Πολυαίνου, Μέμνονος, Ἀκολούθου, Κυριακῆς, καὶ Θεοτίμης.
20 — Θαλλαλαίου μάρτ. Ἡ ἀνακομιδὴ τοῦ Λειψ. ἁγίου Νικολάου· ἁγίου Θαλασσίου, καὶ Ἀσκλᾶ.

Ἀπόστολ. Ἀδελφοί, οἴδαμεν ὅτι. ὅρα 1 Φεβρουαρ. Σελ. 401.

Εὐαγ. Εἶπεν ὁ Κύρ. Ἰδού, δίδωμι. Σαβ. Γ'. Ἑβδ. Λουκ. 142·

(*) 21 — Τῶν Ἁγίων Ἐνδόξων Θεοστέπτων, καὶ Ἰσαποστόλων Μεγάλων Βασιλέων Κωνσταντίνου καὶ Ἑλένης.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. ὅρα Νοεμβρ. 13 Σελ. 358.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πράξεων τῶν Ἀποστόλων τὸ ἀνάγνωσμα. (Κς'. 12-21)

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ Βασιλεὺς πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα· Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν Ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, Βασι-

(*) Εἰ τύχ. ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, Ὄρθρου καὶ Λειτουργίας Εὐαγγέλ. καὶ Ἀπόστολ. τῶν ἁγίων.

Εἰ τύχ. τῇ Κυριακῇ τῆς Σαμαρειτιδος, ἢ τοῦ Τυφλοῦ, ἢ τῶν ἁγ. Πατέρων, Ἑωθινὸν καὶ Λειτουργ. Εὐαγ. τῆς Κυριακῆς Ἀπόστολος δὲ, τῶν ἁγίων. Εἰ τύχοι τῇ Πέμπτῃ τῆς Ἀναλήψεως, Ὄρθρου καὶ Λειτουργ. Εὐαγ. τῆς ἑορτῆς· ἀπόστολ. τῶν ἁγίων.

Εἰ τύχ. τῷ Σαβ. τῶν ψυχῶν, ἡ ἀκολουθία τοῦ ἁγίου προψάλλεται τῇ Παρασκευῇ· ἅπαντα τῶν ἁγίων.

Εἰ τύχ. τῇ Κυριακῇ τῆς Πεντηκοστῆς, ἅπαντα τῆς Πεντηκος.

Εἰ τύχ. τῇ Δευτέρᾳ τοῦ ἁγίου Πνεύματος, Ὄρθρου Εὐαγ, καὶ ἀπόστ. τοῦ ἁγίου Εὐαγ. Λειτουρ. Εἶπεν ὁ Κύρ. Ὁρᾶτε. Σελ. 64.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους· Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις· σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· Τίς εἶ, Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤρθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ. Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελλον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντες.

Εὐαγγέλιον Λειτουργίας.

Εἶπεν ὁ Κύριος· πρὸς τοὺς ἐληλυθ. ὥρα 13 Νοεμβρ. Σελ. 357.

22 — Ἁγίου μάρτ. Βασιλίσκου· Μαρκέλου, Κόδρου, Σοφίας, καὶ Ἰωάννης ὁ Βλαδήμηρος ὁ Βασιλεύς.

23 — Μιχαὴλ τοῦ Ὁμολογητοῦ ἐπισκόπου Συνάδων·

24 — Ὁσίου Συμεὼν τοῦ ἐν τῷ Θαυμαστῷ ὄρει.

Ἀπόστολος.

Ἀδελφοί, ἐνδύσασθε. ὥρα Α'. Κυριακῆ. Σελ. 152.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστὲ τὸ φῶς. ὥρα 12 Νοεμβρ. Σελ. 357.

(*) 25 — Μνήμη τῆς τρίτης εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου Ἐνδόξου Προφ. Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

(*) Εἰ τύχ. ἐν τῇ ἀποδόσει τῆς Μεσοπεντηκοστῆς ἢ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον τοῦ Ὄρθρου

Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ λόγος. ὅρα Σελὶς, 406

Ἀπόστολος

Ἀδελφοὶ, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότ. ὅρα ΙΕ'. Κυρ. Σελ 108.

Εὐαγγέλιον Λειτουργίας.

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας. ὅρα 24 Φεβρουαρίου. Σελ. 407.

26 — Ἁγίου Ἀποστόλου Κάρπου ἑνὸς τῶν 70 Ἀποστόλων. Ἀλφαίου τοῦ Ἀποστόλου· ἅγ. μαρ. Ἀβερκίου καὶ Ἑλένης τῆς θυγατρὸς αὐτοῦ.

Ἀπόστολος.

Ἀδελφοὶ, ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους. ὅρα Σελὶς, 92.

Τῷ καιρῷ ἐκείνῳ ἰδὼν ὁ Ἰησοῦς. ὅρα 30 Ἰουνίου Σελ. 436.

27 — Ἁγίου Ἱερ. Ἑλλαδίου, ἁγ. Εὐσεβιώτου, καὶ Θεράποντος.

28 — Εὐτυχοῦς Ἱερομάρτυρος ἐπισκόπου Μελιτινῆς· ἁγίας μάρτυρος Ἑλικωνίδος.

29 — Θεοδοσίας μάρτ. καὶ Θεοδοσίας τῆς Παρθένου· ἁγ. Ἱερομάρτυρος Ὀλβιανοῦ.

Ἀπόστολον καὶ Εὐαγ. Λειτουργ. ὅρα 25 Νοεμ. Σελ. 362-363

30 — Ὁσίου Ἰσαακίου Ἡγουμένου τῆς Μονῆς τῶν Δαλμάτων· ἁγ. Ναταλίου καὶ Βαρλαάμ.

31 — Ἁγίου μάρτυρος Ἑρμείου, Εὐσεβίου, καὶ Χαραλάμπους.

Πάσχα, ἀπόστολ. καὶ Εὐαγγέλιον τοῦ ἁγίου.

Εἰ τύχ. ἐν Κυρ. ἀπόστολ. τοῦ ἁγ. καὶ Εὐαγ. τῆς Κυριακῆς.

Εἰ τύχ. τῇ Πέμπτῃ τῆς Ἀναλήψεως, μετατίθεται ἡ ἀκολουθία τοῦ ἁγίου, καὶ ψάλ. τῇ ἐπιούσῃ ἡμέρᾳ ἅπαντα τοῦ ἁγίου.

Εἰ τύχ. τῇ Κυρ. τῆς Πεντηκοστῆς, ἡ ἀκολουθία τοῦ ἁγίου μετατίθεται καὶ ψάλ. τῇ Δευτέρᾳ τοῦ ἁγ. Πνεύματος. ὄρθρου Εὐαγ. καὶ ἀπόστολ. τοῦ ἁγίου Εὐαγ. Λειτουργ. τῆς ἡμέρας. Εἰ τύχ. μεταξὺ τῶν μεθεόρτων τῶν ἡμερῶν τῶν προλαβουσῶν δύο ἑορτῶν τῆς Ἀναλήψεως καὶ Πεντηκοστῆς, ἅπαντα τοῦ ἁγίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ

ΙΟΥΝΙΟΣ

Ἔχων ἡμέρας 30. ἡ ἡμέρα ἔχει ὥρας 15, καὶ ἡ νὺξ ὥρας 9.

1 — Ἁγίων μαρτ. Ἰουστίνου τοῦ Φιλοσόφου, Χαρίτωνος, Χαριτοῦς, Εὐελπίστου, Ἱέρακος, Φίρμου, Θεσπεσίου, καὶ Βαλεριανοῦ.

2 — Νικηφόρου Ἀρχιεπισκ. Κωνσταντινουπόλ. τοῦ Ὁμολογ.

3 — Ἁγίων μαρ. Δουκιλλιανοῦ, καὶ Παύλης, μετὰ τῶν 4 νηπίων αὐτῶν· Κλαυδίου, Ὑπατίου, Παύλου, καὶ Διονυσίου.

4 — Μητροφάνους Ἀρχιεπισκ. Κων/νουπόλεως· ὁσ. Σοφίας.

Ἀπόστολον Ἀδιλφοί, τοιοῦτς ἡμῖν Σελὶς 358.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας. πρὸς αὐτὸν Ἰουδαίους· Ὅρα 13 Νοεμβρίου Σελὶς. 357.

5 — Δωροθέου Ἱερομάρτ. ἐπισκ. Τύρου. ἁγ. δέκα μαρτύρ. Μαρκιανοῦ, Νικάνδρου, Ὑπερεχίου, Ἀπόλλωνος, Λεωνίδου, Ἀρείου, Γοργίου, Σεληνιάδος, Εἰρήνης, καὶ Πάμβωνος.

6 — Ἱλαρίωνος τοῦ νέου, τῆς Μονῆς τῶν Δαλμάτων.

7 — Ἁγίου Ἱερομάρτ. Θεοδότου ἐπισκ. Ἀγκύρας· ἁγ. μαρτ. Ταρασίου, Ἰωάννου, Λυκαρίωνος, ὁσ. Ἀνθίμου· ἁγίων Γυναικῶν Σωσάνης, Ζηναΐδος, Αἰσίας, καὶ Σεβαστιανῆς

8 — Ἡ ἀνακομιδὴ τοῦ Λειψάνου Θεοδώρου τοῦ Στρατηλάτου· Ἡ Σύναξις τῆς Θεοτόκου ἐν Σωσθενίῳ· ἁγίας μάρτυρος Καλλιόπης, ὁσίας Μελανείας, καὶ Θεοφάνους.

Ἀπόστολος Ἀδελφοί, ὁ Θεὸς πλούσιος ὢν. Σελ. 132.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ματθαῖον. (Ι'. 16-22)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδοὺ, ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσετε. Οὐ γάρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

9 — Κυρίλλου Ἀρχιεπισκ. Ἀλεξανδρείας· ἁγίων Παρθένων γυναικῶν Μαριάμνης, Μάρθας, Μαρίας καὶ Ἐνναθᾶ.

Ἀπόστολος· Ἀδελφοί, τοιοῦτος ἡμῖν ὅρα 13 Νοεμ. Σελ. 358.

Εὐαγγέλιον. Εἶπεν ὁ Κύριος· Ὑμεῖς ἐστέ. 12 Νοεμ. Σελ. 357.

10 — Ἁγίων μαρτ. Ἀλεξάνδρου καὶ Ἀντωνίνης. Τιμοθέου επισκ. Προύσης. Ὁσίων Θεοφάνους, Κανίδου, καὶ Παυσέμνης. Ἀλεξίου επισκ. Βιθυνίας καὶ Ἀπόλλωνος ἐπισκόπου.

11 — Ἁγίων Ἀποστόλων Βαρθολομαίου καὶ Βαρνάβα.

Ἀπόστολος Ἐν ταῖς ἡμέραις ἐκείναις διασπαρέντες. Σελ. 41.

Εὐαγγέλ. Εἶπεν ὁ Κύριος· Ὁ ἀκούων. ὅρα 8 Νοεμ. Σελ. 356

12 — Ὁσίων Ὀνουφρίου τοῦ Αἰγυπτίου, καὶ Πέτρου τοῦ ἐν τῷ Ἄθῳ· ἁγίας Ἀντωνίνης Ἰωάννου τοῦ Στρατιώτου, Ζήνωνος, Τρυφυλλίου ἐπισκόπου, καὶ Ἰουλιανοῦ τοῦ ἐν Δαγάζου.

13 — Ἀκυλίνης Μάρτ. Εὐλογίου Πατριάρχ. Ἀντιοχείας, Ὁσίας Ἄννης μετὰ τοῦ υἱοῦ αὐτῆς Ἰωάννου· ἁγίου Διοδώρου

14 — Ἐλισσαίου τοῦ Προφήτου, καὶ Μεθοδίου Ἀρχιεπισκ. Κωνσταντινουπόλεως, Κυρίλλου ἐπισκ. Γορτύνης, ὅσ. Νήφων

Τὸν Ἀπόστολον ζήτει τὴν 20 Ἰουλίου. Σελ. 440.

Εὐαγγέλιον Τῷ καιρῷ ἐκείνῳ ἐθαύμαζον. ὅρα 1 Μαΐου.

15 — Τοῦ Προφ. Ἀμώς· ἁγ. μαρτ. Δουλᾶ καὶ Ναρσῆ. τῶν ἁγ. μαρτ. Φουρτουνάτου, Ὀρτισίου, Ἱερονύμου, καὶ Αὐγουστίνου.

16 — Ἁγίου Τύχωνος ἐπισκ. Ἀμαθοῦντος τῆς Κύπρου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 — Τῶν ἁγίων μαρτ. Ἰσαύρου, Βασιλείου, Φήλικος, Ἰννοκεντίου, Ἑρμείου, Ὑπατίου, Μανουὴλ, Σαβὲλ, καὶ Ἰσμαὴλ.

18 — Τῶν ἁγίων μαρτ. Λεοντίου Ὑπατίου, καὶ Θεοδούλου.

19 — Ἁγίου Ἀποστόλου Ἰούδα συγγενοῦς τοῦ Κυρίου, τοῦ καὶ Θαδδαίου καὶ Λεββαίου ἐπικληθέντος. Ὁσίου Ζήνωνος, Ζωσίμου, καὶ Παϊσίου τοῦ Μεγάλου.

20 — Μεθοδίου Ἱερομάρ. Ἐπισκ. Πατάρων· ὁσ. Καλλίστου.

21 — Ἰουλιανοῦ τοῦ ἐν Κιλικίᾳ· Ἀφροδισίου, καὶ Τερεντίου ἐπισκ. Ἰκονίου.

22 — Εὐσεβίου Ἱερομάρτ. ἐπισκ. Σαμωσάτων· ἁγίων μαρτ. Ζήνωνος, Ζηνᾶ, ἁγίας Ἰουλιανῆς, καὶ Σατορνῖνος ὁ υἱὸς αὐτῆς.

23 — Ἁγίας μάρτ. Ἀγριππίνης· ἁγ. μαρτ. Ἀριστοκλέους Πρεσβυτέρου, Δημητρίου Διακόνου, καὶ Ἀθανασίου Ἀναγνώστου.

(*) 24 — Τὸ Γενέθλιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· ἁγίου μάρτυρος Παναγιώτου.

Εὐαγγέλιον τοῦ Ὀρθρου

Ἐκ τοῦ κατὰ Λουκᾶν (Α'. 24-25 57-68)

Τῷ καιρῷ ἐκείνῳ, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις· Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ αὐτῆς· καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐκάλουν αὐτὸ, ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· Ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐ-

(*) Εἰ τύχ. ἐν Κυριακῇ, τὸ Ἑωθινὸν Εὐαγγέλ. ὅρα εἰς τὸ Πασχάλιον τοῦ τρέχ. ἔτους. Ἀπόστολ. καὶ Εὐαγ. τοῦ Προδρόμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει, εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος ἁγίου· καὶ προεφήτευσε, λέγων· Εὐλογητός, Κύριος, ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ σὺ, παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.
Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ἀδελφοί, νῦν ἐγγύτερον. Ὥρα Κυρ. τῆς Τυροφάγου. Σελ. 170

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν
(Α'. 1-25. 57-68. 76-80)

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου· ἔδοξε κἀμοὶ, παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, Ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν Ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ, Ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος· Μὴ φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ· Καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοὺ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα, ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα· Καὶ ἰδοὺ, ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ Ναῷ. Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ Ναῷ· καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμεινε κωφός Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ· καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς· καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο, ἐν τῇ ὀγδόῃ ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον· καὶ ἐκάλουν αὐτὸ, ἐπὶ τῷ ὀνό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί· ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ, τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε, λέγων· Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐθαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ· καὶ ἐλάλει, εὐλογῶν τὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου, καὶ προεφήτευσε, λέγων· Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ σύ, παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

25 — Φεβρονίας ὁσιομάρτυρος· ἁγίων μαρτ. Ὀρεντίου, Κυριακοῦ, Φίρμος, Ἔρως, Φαρνάκιος, Λογγῖνος, καὶ ὁσ. Προκοπίου.

26 — Ὁσίου Δαυὶδ τοῦ ἐν Θεσσαλονίκῃ, καὶ Ἰωάννου ἐπισκ.

Ἀπόστολος Ἀδελφοί, ὁ καρπός. ὥρα Σαβ. ΚΖ'. Ἑβδ. Σελ. 142

Εὐαγγέλιον Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς. Σελὶς 366

27 — Ὁσίου Σαμψὼν τοῦ Ξενοδόχου· ἁγίων μαρτ. Ἀνέκτου, Μαρκίου, Μαρκίας, καὶ Ἰωάννα ἡ μυροφόρος.

Ἀπόστολος Ἀδελφοί, ὁ σπείρων. ὥρα ΙΗ'. Κυρ. Σελ. 117.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Μὴ φοβοῦ. Σαβ. ΙΑ'. Ἑβδ. Λουκ. Σελ 145.

28 — Μνήμη τῆς Εὑρέσεως τῶν Λειψάνων ἁγίων Ἀναργύρων Κύρου, καὶ Ἰωάννου. ἁγ. Παππίου, καὶ Παῦλος ὁ Ἰατρός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 29 — Τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ Πρωτοκορυφαίων Πέτρου καὶ Παύλου.

Εὐαγγέλιον τοῦ Ὄρθρου.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν. ὥρα ΙΑ'. Ἑωθινόν. Σελ. 60.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πρὸς Κορινθίους Β'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
(ΙΑ'. 21-32. ΙΒ'. 1-9.)

Ἀδελφοί, ἐν ᾧ δ' ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω,) τολμῶ κἀγώ. Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ. σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· Διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ ὑπὲρ ἐγώ·) ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ Βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. Οἶδα ἄνθρωπον ἐν Χριστῷ, πρὸ ἐτῶν δε-

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀποστολ. καὶ Εὐαγγέλ. τῶν Ἁγίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν,) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν,) ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὁ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ' ἐμοῦ. Καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον (Ις'. 13-19)

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα τοὺς Μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· Οἱ μὲν, Ἰωάννην τὸν Βαπτιστήν· Ἄλλοι δὲ Ἠλίαν· ἕτεροι δὲ, Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγεται εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε· Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου, ὁ ἐν τοῖς οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 30 — Ἡ Σύναξις τῶν Ἁγίων Ἐνδόξων καὶ Πανευφήμων Ἀποστόλων τῶν δώδεκα·

Ἀπόστολος Προκείμενον, ἦχος. πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.
Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλ. ὅρα Γ'. Κυρ. Σελ. 92.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Ματθαῖον

Κεφ. Θ'. 36 37 Ι'. 1-8.

Τῷ καιρῷ ἐκείνῳ, ἰδὼν ὁ Ἰησοῦς τοὺς ὄχλους, εὐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα. Καὶ προσκαλεσάμενος τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τῶν δὲ δώδεκα Ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ· Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου, καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ· Φίλιππος, καὶ Βαρθολομαῖος· Θωμᾶς, καὶ Ματθαῖος ὁ Τελώνης· Ἰάκωβος ὁ τοῦ Ἀλφαίου, καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος· Σίμων ὁ Κανανίτης, καὶ Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ Παραδοὺς αὐτόν· Τούτους τοὺς Δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες· Ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν, δότε.

(*) Εἰ τύχ. ἐν Κυρ. τὸ Ἑωθινὸν Εὐαγγέλιον τῆς Κυριακῆς Ἀπόστολον δὲ καὶ Εὐαγγέλιον Λειτουργίας, τῶν Ἁγίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΜΗΝ

ΙΟΥΛΙΟΣ

Ἔχων ἡμέρας 31. Ἡ ἡμέρα ἔχει ὥρας, 14 καὶ ἡ νὺξ ὥρ. 10

(*) 1 — Ἁγίων Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ· ὁσ. Βασιλείου τοῦ συστησαμένου τὴν Μονὴν Βαθέως Ῥύακος, καὶ Εὐάνδρου.

Ἀπόστολος καὶ Εὐαγγέλιον, ὅρα 1 Νοεμβρίου Σελ. 353.

(*) 2 — Μνήμη τῆς τιμίας ἐσθῆτος τῆς Ὑπεραγίας Θεοτόκου, ἐν Βλαχέρναις ἐπὶ Λέοντος τοῦ Μεγάλου, καὶ Βηρίνης τῆς αὐτοῦ γυναικός· ἁγ. μαρ. Κοΐντου, καὶ Ἰουβεναλίου Ἀρχιεπ. Ἱεροσολ.

Ἀπόστολος Προκείμενον, Ἦχος γ'.

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνή. ὅρα 21 Νοεμβρ. Σελ. 361.

Εὐαγγέλιον

Ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα. ὅρα 8 Σεπτεμ. Σελ. 333.

3 — Ἁγίων Μαρτ. Ὑακίνθου τοῦ θαλαμηπόλου, Διομήδους, Εὐλαμπίου, Ἀσκληπιάδου, Θεοδότου, Θεοδότης, Δολινδούχ, Μελίτωνος καὶ Ἀνατολίου, Πατριάρχου Κωνσταντινουπόλεως.

4 — Ἁγίου Ἀνδρέου Κρήτης τῶν Ἱεροσολύμων. Θεοδώρου ἐπισκ. Κυρήνης, ἁγίου μάρτυρος Θεοδότου.

5 — Ὁσίου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ· ὁσίου Λαμπαδοῦ.

6 — Ὁσίου Σισώη τοῦ Μεγάλου· καὶ Λουκίας τῆς Παρθένου· Ἀστίου ἐπισκ. Δυρραχίου, ἁγίων ἀποστόλ. Ἀρχίππου, Φιλήμονος, καὶ Ὀνησίμου· ἁγ. Ἀπολλωνίου, Ἀλεξανδρίωνος, Ἐπιμάχου. Ῥήξου, καὶ Βικαρίου.

7 — Ὁσίου Θωμᾶ τοῦ ἐν τῷ Μαλεῷ· ἁγίας μάρτ. Κυριακῆς, ἁγ. μαρτ. Περεγρίνου, Λουκιανοῦ, Πομπιΐου, Ἡσυχίου, Παππίου, Σατορνίνου, καὶ Γερμανοῦ.

8 — Ἁγίου Μεγαλομάρτυρος Προκοπίου.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολ. τῶν ἁγίων Εὐαγ. τῆς Κυρρ.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τῆς Θεοτόκου, Εὐαγ. τῆς Κυ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

9 — Ἁγίου Ἱερομάρτυρος Πανκρατίου Ἐπισκ. Ταυρομενίου.
10 — Ἁγίων 45 μαρτ. ἐν Νικοπόλει Μαρτυρησάντων· ἁγ. μαρτ. Βιάνορος, Σιλουανοῦ, καὶ Ἀπολλωνίου, ἐκ Σάρδεων.
(*) 11 — Ἁγίας Μεγαλομάρτ. καὶ Πανευφήμου Εὐφημίας, ὅτε τὸν ὅρον τῆς πίστεως ἐπεκύρωσε. Τὸ δὲ ἅγιον αὐτῆς Λείψανον εὑρίσκεται σύσσωμον ἐν τῷ Πατριαρχικῷ Ναῷ Κωνσταντινουπόλεως κατὰ τὸ Παρεκκλήσιον, τῆς Παμμακαρίστου. (**)

ἀγγέλιον τοῦ Ὄρθρου.

Τῷ καιρῷ ἐκ. ἠκολούθει τῷ Ἰησοῦ. ὅρα 25 Νοεμ. Σελ. 363.

Ἀπόστολος.

Ἀδελφοί, συνεργοῦντες. ὅρα Ιϛ'. Κυρ. Σελὶς, 110.

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Ζ'. 36-50)

Τῷ καιρῷ ἐκείνῳ, ἠρώτα τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου, ἀνεκλίθη. Καὶ ἰδοὺ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλὸς, ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω, κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ. Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν, εἶπεν ἐν ἑαυτῷ, λέγων· Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν. Σίμων, ἔχω σοί τί εἰπεῖν. Ὁ δέ φησι· Διδάσκαλε, εἰπέ.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπός. τῆς ἁγίας, Εὐαγ. τῆς Κυριακῆς.

(**) Εἰκὼν ἐστὶ τῆς Ὑπεραγίας Θεοτόκου θαυματουργὸς ἡ Παμμακάριστος, κειμένη κατὰ τὸ δεξιόθεν Παρεκκλήσιον. Ἔστι δὲ οὐ χρώμασιν ἐζωγραφισμένη, ἀλλὰ ψηφίοις μικροῖς εὐρύθμοις πάνυ κατεσκευασμένη. Ὁμοία εἰκὼν κατὰ τὸ αὐτὸ Παρεκκλήσιον κεῖται τοῦ τιμίου Προδρόμου· παρ' αὐτὴ δὲ, καὶ μέρος τῆς στήλης ἣ προσδεθεὶς ὁ Ἰησοῦς ἐμαστιγώθη.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δύω χρεωφειλέται ἦσαν δανειστῇ τινί· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα· Μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἰπὲ, πλεῖον αὐτὸν ἀγαπήσει; Ἀποκριθεὶς δὲ ὁ Σίμων, εἶπεν ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο· Ὁ δὲ εἶπεν αὐτῷ· Ὀρθῶς ἔκρινας. Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα. τῷ Σίμωνι ἔφη· Βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. Φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ, ἀφ' ἧς εἰσῆλθον, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας· Ἔλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι, αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον, ἀφίεται ὀλίγον ἀγαπᾷ. Εἶπε δὲ αὐτῇ· Ἀφέωνταί σου αἱ ἁμαρτίαι. Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· Τίς οὗτός ἐστιν, ὃς καὶ ἁμαρτίας ἀφίησιν; Εἶπε δὲ πρὸς τὴν γυναῖκα· Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

12 — Ἁγίων μαρτ. Πρόκλου, Ἰλαρίου, Σεραπίωνος, Ἀνδρέου, Ἡρακλείου Φαύστου, Μηνᾶ, Μάμαντος, καὶ τῆς ἁγ. Βερονίκης.

(*) **13** — Ἡ Σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ· ὅσ. Στεφάνου τοῦ Σαββαΐτου· ἁγίας Γολινδούχ, τῆς μετονομασθείσης Μαρίας.

ΤΗ ΚΥΡΙΑΚΗ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ

ΕΙΔΗΣΙΣ.

Κατὰ τὴν **13** τοῦ παρόντος μηνός, Εἰ τύχοι ἐν Κυριακῇ ἦ, τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ, μέχρι τῆς **19** ψάλλεται ἡ ἀκολουθία τῶν ἁγίων ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων, τῶν εἰς τὰς ἓξ Ἁγίας Οἰκουμενικὰς Συνόδους συνελθόντων, Ἐν ἔτει **451** ἐπὶ τῶν Βασιλέων Μαρκιανοῦ καὶ Πουλχερίας συγκροτηθείσης κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου τῶν Μονοφυσιτῶν.

Ἀπόστολος. Προκείμενον, ἦχος πλ. δ'.
Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι.
Μακάριοι. Ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Τέκνον Τίτε, πιστὸς ὁ λόγος. ὅρα **11** Ὀκτωβρίου Σελ. **346.**

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον Λειτουργίας

Εἶπεν ὁ Κύριος Ὑμεῖς ἐστὲ τὸ φῶς. ὅρα 12 Νοεμ. Σελ. 357.

14 — Ἀκύλα τοῦ Ἀποστόλου, ὁσ. Ὀνησίμου, Ἰούστου, μάρτ. καὶ Ἰωσὴφ Ἀρχιεπισκόπου Θεσσαλονίκης.

Ἀπόστολ. Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς. ὅρα Γ'. Κυριακῇ Σελ. 92.

Εὐαγγέλιον ζήτει εἰς Ἀπόστολον.

15 — Κηρύκου, Ἰουλίττης, Δολλιανοῦ, καὶ Ἀβουδίμου τῶν Μαρτύρων.

17 — Ἁγίας Μεγαλομάρτυρος Μαρίνης. ἁγ. Βερονίκης.

Ἀπόστολον καὶ Εὐαγγέλιον ὅρα 25 Νοεμβρ. Σελ. 362—363.

18 — Ἁγ. μαρτ. Ἰουλιανοῦ, Παύλου, Θεῆς, καὶ Οὐαλεντίνης.

19 — Μακρίνης μάρτ. ἀδελφῆς Βασιλείου τοῦ Μεγάλ. ὁσ. Δίου.

(*) 20 — Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου.

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα. (Ε'. 10-20)

Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, τοὺς Προφήτας οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων. Πρὸ πάντων δὲ ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω· ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος κἂν ἁμαρτίας ᾖ πεποιηκὼς ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθ

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολ. τοῦ ἁγίου, Εὐαγγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Ἠλίας, ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. Ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Εὐαγγέλιον.

Τῷ καιρῷ ἐκείνῳ ἐθαύμαζον οἱ ὄχλοι. ὥρα 1 Μαΐου Σελ. 421.

21 — Τῶν ὁσίων Ἰωάννου, καὶ Συμεὼν τὸν διὰ Χριστὸν Σαλοῦ· ἁγίου Εὐγενίου.

22 — Τῆς ἁγίας Μυροφόρου καὶ Ἰσαποστόλου Μαρίας τῆς Μαγδαληνῆς, καὶ Μαρκέλης Μάρτυρος.

Ἀπόστολος. Προκείμενον, Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς. ὥρα Σελὶς, 95.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Η'. 1-3).

Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς κατὰ πόλιν καὶ κώμην, κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ. καὶ οἱ Δώδεκα σὺν αὐτῷ, καὶ γυναῖκές τινες, αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία ἡ καλουμένη Μαγδαληνή, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, καὶ Ἰωάννα γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρῴδου, καὶ Σουσάννα, καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

23 — Φωκᾶ Ἱερομάρτυρος καὶ Ἰεζεκιὴλ τοῦ Προφήτου· ἁγίων μαρτ. Ἀπολιναρίου, Βιταλίου ἐπισκόπου Ῥαβεννῆς, Ἀπολλωνίου ἐπισκόπου Ῥώμης, καὶ Ἄννης τῆς ἐν Λευκαδίῳ.

24 — Χριστίνης Μεγαλομάρτυρος, Καπίτωνος καὶ Ὑμεναίου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(*) 25 — Ἡ Κοίμησις τῆς ἁγίας Ἄννης μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου Καὶ μνήμη τῶν ἁγίων 165 Πατέρων τῶν ἐν τῇ 5η Οἰκουμενικῇ ἁγίᾳ Συνόδῳ συνελθόντων καὶ τὰ Ὡριγένους δόγματα καθελόντων· σίας Ὀλυμπιάδος, καὶ Εὐπραξίας.

Ἀπόστολος Προκείμενον. ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν ὅρα 23 Σεπτεμ. Σελ. 341.

Εὐαγγέλιον

Εἶπεν ὁ Κύριος Οὐδεὶς λύχνον ἅψας Σαβ. ς΄. Ἑσπ. Σελ. 131.

(*) 26 — Ἁγίων Ἱερομαρτύρων Ἑρμολάου, Ἑρμίππου, Ἑρμοκράτους, ἁγίας ὁσιομάρτυρος Παρασκευῆς, Ὡραιοζήλας, καὶ Ἱερουσαλήμ· ὁσίου Ἰγνατίου τοῦ Στειρωνίτου, καὶ Ἀπίωνος.

Ἀπόστολος. Προκείμενον, ἦχος βαρύς.

Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων;

Τας εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.

Τέκνον Τιμόθεε οἱ καλῶς. ὅρα Σαβ. Πρὸ τῶν Φώτων. Σελ. 383.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὅρα 8 Ἰουνίου. Σελ. 428.

(*) 27 — Ἁγίου Μεγαλομάρτ. καὶ ἰαματικοῦ Παντελεήμονος.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Εἶπεν ὁ Κύριος· Προσέχετε ὅρα 9 Φεβρουαρίου Σελ. 404.

Ἀπός. Τέκνον Τιμόθεε ἐνδυναμοῦ. ὅρα 26 Ὀκτωβ. Σελ. 351.

Εὐαγγέλιον Λειτουργίας.

Εἶπεν ὁ Κύριος· ταῦτα ἐντέλλομαι. ὅρα Σαβ. Γ΄. ἑσπ. Σελ. 32

28 — Ἁγίων Ἀποστόλων Προχόρου, Νικάνορος, Τίμωνος, καὶ Παρμενᾶ· Εὐσταθίου μάρτ. τοῦ ἐν Ἀγκύρᾳ, καὶ Ἀκακίου.

29. — Ἁγ. Μαρτύρ. Καλλινίκου, Μάμαντος, καὶ Βασιλίσκου. Ἁγίας Μάρτυρος Θεοδότης. Ἁγίων Βενιαμὴν, Βηρίου. καὶ

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστ. τῆς ἁγίας καὶ Εὐαγ. τῆς Κυρ.

(*) Εἰ τύχ. ἐν Κυρ ἀπόστολος τῆς ἁγίας Παρασκευῆς καὶ Εὐαγγέλιον τῆς Κυριακῆς.

(*) Εἰ τύχ. ἐν Κυρ. ἀπόστ. τοῦ ἁγίου, καὶ Εὐαγγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἁγ. Ἰωάννου τοῦ Στρατιώτου, Κωνσταντίνου Πατριάρχ. Κωνσταντινουπ. καὶ Θεοδοσίου Βασιλέως τοῦ νέου.

30.—Ἁγ. Ἀποστόλων ἐκ τῶν 70 Σίλα, Σιλουανοῦ, Κρήσκεντος, Ἐπαινετοῦ, Ἀνδρονίκου. καὶ Ἰουλίττης Μάρτυρος.

31.—Ἁγ. καὶ Δικαίου Εὐδοκίμου· μνήμη τῶν Ἐγκαινίων τοῦ σεβασμίου οἴκου τῆς Θεοτόκου ἐν Βλαχέρναις. Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας ὁ κηδεύσας τὸ πανάχραντον σῶμα τοῦ Ἰησ. Χριστοῦ.

Ἀπόστολος

Ἀδελφ. ὅσοι Πνεύματι. Σάβ. τῆς 5 Ἑβδ. Σελὶς 77.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Οὐδεὶς λύχνον ἅψας. Λουκ. ς'. Ἑβδ. Σελ. 131.

ΜΗΝ

ΑΥΓΟΥΣΤΟΣ

Ἔχων ἡμέρας 31. ἡ ἡμέρα ἔχει ὥρας 13, καὶ ἡ νὺξ ὥρας 11.

1.—Ἁγίων 7 Μαρτ. τῶν Μακκαβαίων, Ἀβείμ, Ἀντωνίου, Γουρία, Ἐλεαζάρου, Εὐσεβωνᾶ, Ἀχείμ, Μαρκέλλου, μετὰ τῆς μητρὸς αὐτῶν Σολομονῆς, καὶ Ἐλεαζάρου τοῦ διδασκάλου αὐτῶν. Ἁγ. 9 Μαρτ. ἐν Πέργῃ τῆς Παμφυλίας, ἀθλησάντων· Λεοντίου, Ἄττου, Ἀλεξάνδρου, Κινδέου, Μνησιθέου, Κυριακοῦ, Κατούνου, Εὐκλέου, καὶ Πάπας ὁ νέος. ἁγίων Κήρυκος, Θεοδώρου, Πολυεύκτου, Μήνου, Μηναίου, καὶ Τιμοθέου Ἐπισκ. Προικοννήσου.

Ἀπόστολος.

Ἀδελφ. οἱ ἅγιοι πάντες. ὅρα Κυρ. ἁγ. Πάντων Σελ. 66.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος Ἰδοὺ ἐγὼ ἀποστέλ. Ζήτ. 8 Φεβρουαρ. Σελ. 428.

2.—Ἡ Ἀνακομιδὴ τοῦ λειψ. Στεφάνου Ἀρχιδιακόνου· καὶ ἡ εὕρεσις τῶν λειψ. Ἁγ. Μαξίμου, Δάδας, καὶ Κυντιλιανοῦ. Ἁγ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάρτ. Φωκᾶ· καὶ μνήμη Ἰουστιανοῦ τοῦ Βασιλέως ἐν τοῖς ἁγίοις Ἀποστόλοις.

Ἀ π ό σ τ ο λ ο ς.

Ζήτ. τὸν Ἀπόστολον ἁγίου Στεφάνου. 27 Δεκεμβρ. Σελ. 380.

Ε ὐ α γ γ έ λ ι ο ν.

Ζήτ. Κυρ. ΙΓ'. Ματθαίου. Ἄνθρωπός τις Σελ. 102.

3.—Ὅσ. Δαλμάτου, Φαύστου, Ἰσαακίου, Ἰωάννου Ἡγουμένου, Ὁσία Σαλώμη ἡ Μυροφόρος. καὶ ἡ Ὁσία Θεοκλιτώ.

4.—Ἅγ. 7 Παίδων τῶν ἐν Ἐφέσῳ· Μαξιμιλιανοῦ, Ἐξακουστωδιανοῦ, Ἰαμβλίχου, Μαρτινιανοῦ, Διονυσίου, Ἰωάννου, Κωνσταντίνου· Ἀνακομηδ. λειψ Ὁσίας Εὐδοκίας· ἁγίας Ἴας· καὶ Θαθουήλ.

5 —Προεόρτια τῆς Μεταμορφώσεως· ἁγ. Εὐσιγνίου, Καττίδιος καὶ Καττιδιανὸς τῶν Αὐταδέλφων· ἁγία Νόνα ἡ μήτηρ ἁγ. Γρηγορ. τοῦ Θεολόγου· Σόβελ ὁ Αἰγύπτιος, καὶ Φάβιος Ἀρχ. Ρώμ.

(*) 6.—Ἡ ἁγία Μεταμόρφωσις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ε ὐ α γ γ έ λ ι ο ν τ ο ῦ Ὄ ρ θ ρ ο υ

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Θ'. 28-36)

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο, ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ, ἄνδρες δύω συνελάλουν αὐτῷ, οἵ τινες ἦσαν Μωσῆς καὶ Ἠλίας· οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύω ἄνδρας τοὺς συνεστῶτας αὐτοῦ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε

(*) Εἰ τύχ. ἐν Κυριακῇ οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλ' ἅπαντα τῆς ἑορτῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς μίαν σοὶ, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ· μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε». Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος. Καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν, ὧν ἑωράκασιν.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Καθολικῆς Β'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα. (Α'. 10-19)

Ἀδελφοὶ, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον Βασιλείαν τοῦ Κυρίου ὑμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ἡμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καὶ περ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶς δὲ ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εὐαγγέλιον Λειτουργίας

Ἐκ τοῦ κατὰ Ματθαῖον (ΙΖ'. 1-9)

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ· καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν. Καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ, ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ, νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ, φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. Καὶ ἀκούσαντες οἱ Μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

7.— Δομετίου Ὁσιομάρτ. τοῦ Πέρσου. Ἀστερίου, καὶ Ὥρ Ὁσία Ποταμία. Ἁγ. Ὑπερεχίου, Σώζων, καὶ Νάρκισσος Ἀρχιεπίσκοπος Ἱεροσολύμων.

Ἀπόστολος

Τέκνον Τιμόθεε μὴ ἐπαισχυνθῇς· ὅρα 15 Δεκεμ. Σελ. 369.

Εὐαγγέλιον Μεθέορτον

Ἐκ τοῦ κατὰ Μάρκον. (Θ'. 2-9)

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο στίλβοντα, λευκὰ λίαν· ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι. Καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωσεῖ. καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦ. Καὶ ἀποκριθεὶς ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ Ἠλίᾳ μίαν. Οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι. Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς· καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

8.—Ὅσ. Αἱμιλιανοῦ Ἐπισκ. Κυζίκου, καὶ Θεοδώρου ἡγουμ. ἁγ. Μαρτ. Ἐλευθερίου, Λεωνίδου, Μύρωνος Ἐπισκ. Κρήτης, καὶ τοῦ ἁγίου μάρτυρος Τριανταφύλλου.

9.—Ἁγ. Ἀποστόλου Ματθίᾳ· ἁγίων 10 Μαρτύρ. τῶν διὰ τὴν ἁγίαν εἰκόνα τοῦ Σωτῆρος ἡμῶν Ἰησ. Χριστοῦ τὴν ἐν τῇ Χαλκῇ πύλῃ ἀθλησάντων. Ἰουλιανοῦ, Μαρκιανοῦ, Ἰωάννου, Ἰακώβου, Ἀλεξίου, Δημητρίου, Φωτίου, Πέτρου, Λεοντίου, καὶ Μαρίας τῆς Πατρικίας· Ἀντωνίου Μάρτυρος.

Ἀπόστολος.

Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.
Οἱ οὐρανοὶ διηγοῦνται δοξαν Θεοῦ.

Ἐν ταῖς ἡμέραις ἐκείναις ὑπέστρεψαν· ὅρα Δευτέρᾳ τῆς Διακαινησίμου Σελὶς 10.

Εὐαγγέλιον.

Εἶπεν ὁ Κύριος· Ὁ ἀκούων ὑμῶν, Ζήτ. 8 Νοεμβρ. Σελ. 356.

10.—Ἁγ. Μαρτύρ. Λαυρεντίου, Ἀρχιδιακ. Ξύστου Πάπα Ῥώμης, Ὑππολύτου, καὶ Ἥρων ὁ φιλόσοφος.

11.—Ἁγ. Μεγαλομ. Εὐπλου Διακόνου. Τὰ Ἐγκαίν. τῆς ὑπεραγ. Θεοτ. Ἐλεούσης, καὶ Νήφων Πατριάρχ. Κωσταντνουπ.

12.—Τῶν ἁγ. μαρτύρ. Φωτίου, Ἀνικήτου, Παμφύλου, Καπίτωνος, καὶ τῶν Ὁσίων Σεργίου, Στεφάνου, καὶ Παλάμωνος.

13.—Μαξίμου τοῦ ὁμολογητοῦ· ἁγίας Εἰρήνης τῆς διὰ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀγγελικοῦ σχήματος μετενομασθήσης Ξένης μοναχῆς καὶ Εὐδοκίας τῆς Βασιλίσσης

14. — Προεόρτια τῆς Κοιμήσεως τῆς Θεοτόκου, καὶ τοῦ Προφ. Μιχαίου. Μαρκέλλου ἐπισκ. Ἀπαμείας, καὶ τοῦ ἁγ. Οὐρσικίου.

(*) 15. — Ἡ Κοίμησις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Ὄρθρου καὶ Λειτουργίας Εὐαγγέλιον καὶ Ἀπόστολον, ὅρα εἰς τὰς 8 Σεπτεμβρίου Σελ. 333.

16. — Ἡ ἐξ Ἐδέσσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤτοι τοῦ ἁγίου Μανδηλίου. ἁγ. μαρτ. Διομήδους, Χαιρήμωνος, Ἀλκιβιάδου, καὶ Σταματίου.

Ἀπόστολος. Προκείμενον, ἦχος δ'.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου.
Ἡ Σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

Τέκνον Τιμόθεε οἱ καλῶς· ὅρα Σαβ. πρὸ τῶν Φώτων. Σελ. 383.

Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Λουκᾶν. (Θ'. 51-57 Ι'. 22-24)

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ, καὶ αὐτὸς τὸ πρόσωπον αὐτοῦ ἐστήριζε τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ· καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ. Καὶ οὐκ ἐδέξαντο αὐτὸν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἱερουσαλήμ. Ἰδόντες δὲ οἱ Μαθηταὶ αὐτοῦ, Ἰάκωβος καὶ Ἰωάννης, εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ τοῦ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτοὺς, ὡς καὶ Ἠλίας ἐποίησε; Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς, καὶ εἶπεν Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς· ὁ γὰρ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην. Ἐγένετο δὲ

(*) Εἰ τύχ. ἐν Κυρ. Ὄρθρου καὶ Λειτουργίας Εὐαγγ. καὶ Ἀπόστολ. τῆς Θεοτόκου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, ἔλεγε τοῖς ἀκολουθοῦσιν αὐτῷ. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱός, εἰ μὴ ὁ Πατήρ· καὶ τίς ἐστιν ὁ Πατὴρ, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Καὶ στραφεὶς πρὸς τοὺς Μαθητὰς, κατ' ἰδίαν εἶπε· Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. Λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ.

17.—Τῶν ἁγ. μαρτύρ. Μύρωνος, Στράτωνος, Φιλίππου, Εὐτυχιανοῦ, Κυπριανοῦ, Θύρσου, Λευκίου, Κορωνάτου, Παύλου, καὶ Ἰουλιανῆς τῆς ἀδελφῆς αὐτοῦ.

18.—Τῶν ἁγ. μαρτ. Φλώρου, Λαύρου, Ἕρμου, Σεραπίωνος, Πολυαίνου, καὶ Ἰουλιανῆς ἁγίων Πατριαρχῶν Κωνσταντινουπόλεως Ἰωάννου καὶ Γεωργίου.

19.—Ἀνδρέου τοῦ Στρατηλάτου μετὰ 2,593 μαρτύρ· ἁγίων Τιμοθέου, Ἀγαπίου, Θέκλης, Εὐτυχιανοῦ τοῦ Στρατιώτου, καὶ Θεοφάνης ὁ νέος.

20.—Σαμουὴλ τοῦ Προφήτου· ἁγίων μαρτύρ. Σεβήρου, Μέμνονος, Λουκίου, Ἡλιοδώρου, Δοσᾶ, καὶ Φωτινῆς, ἔξω τῆς πύλης τῶν Βλαχερνῶν.

21.—Θαδδαίου τοῦ Ἀποστόλου καὶ τῆς ἁγίας μάρτ. Βάσσης μετὰ τῶν τέκνων αὐτῆς Θεογνίου, Ἀγαπίου καὶ Πιστοῦ.

22.—Τῶν ἁγ. μαρτύρ. Ἀγαθονίκου, Ζωτικοῦ, Ζήνωνος, Θεοπρεπίου, Ἀκινδύνου, Σεβηριανοῦ, Εἰρηναίου, Χαρησίμου, Νεοφύτου, ἁγίας μάρτ. Ἀνθούσης, καὶ Ἀθανασίου, ἐπισκόπου.

23.—Ἁγίου μάρτ. Λούπου. Εἰρηναίου ἐπισκ. Λουγδούνων, καὶ Καλλινίκου Πατριάρχου Κωνσταντινουπόλεως.

24.—Εὐτυχοῦς Ἱερομάρτυρος, Παύλου τοῦ Ἀποστόλου, Τατίωνος, καὶ τοῦ ὁσίου Γεωργίου τοῦ Λιμνιώτου.

25.—Ἡ ἐπάνοδος τοῦ λειψάνου Βαρθολομαίου τοῦ Ἀποστόλου καὶ Τίτου τοῦ Ἀποστόλου. Τῶν ἁγίων Μηνᾶ, Ἐπιφανίου, Γενναδίου, καὶ Ἰωάννου Ἀρχιεπισκόπων Κωνσταντινουπόλεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

26.—Τῶν ἁγίων μαρτύρ. Ἀδριανοῦ καὶ Ναταλίας, Ἀττικοῦ, Σισινίου, ὁσίου Ἰβιστίωνος, ὁσ. Ἰωάσαφ υἱοῦ Ἀβενὴρ τοῦ Βασιλέως τῆς Ἰνδίας, καὶ τῆς Ὁσίας Τιθόης.

27.—Ποιμένος τοῦ ὁσίου, Λεβερίου ἐπισκ. Κουδρούβης, Ἀνθούσης τῆς νέας, καὶ Εὐθαλίας.

28.—Μωϋσέως τοῦ Αἰθίοπος, Ἀκακίου τοῦ νέου, Διομήδους, Ἀυρεντίου, Ἐζεκίου τοῦ Βασιλέως, καὶ Ἄννης θυγατρ. Φανουήλ.

(*) 29.—Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου καὶ Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ.

Εὐαγγέλιον τοῦ Ὄρθρου

Ἐκ τοῦ κατὰ Ματθαῖον. (ΙΔ'. 1-13)

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρῴδης ὁ Τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ. Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτόν, καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης. Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρῴδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρῴδῃ· ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ ἐλυπήθη ὁ βασιλεύς· διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, ἐκέλευσε δοθῆναι. Καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ κορασίῳ· καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό· καὶ ἐλθόντες, ἀπήγγειλαν τῷ Ἰησοῦ. Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.

(*) Εἰ τύχ. ἐν Κυρ. τὸ Ἑωθ. Εὐαγγέλιον Ἀπόστολ. δὲ καὶ Λειτουργ. Εὐαγγέλ. τοῦ Προδρόμου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος.

Προκείμενον, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. (ΙΓ'. 25-32.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγὼ ἀλλ' ἰδοὺ, ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν, λῦσαι. Ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἰερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν, τούτων ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν Προφητῶν, τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες, ἐπλήρωσαν. καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ἠτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον· ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους, τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἰερουσαλὴμ, οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν.

Εὐαγγέλιον Λειτουργίας.

Ἐκ τοῦ κατὰ Μάρκον (ϛ'. 14-30)

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρῴδης ὁ βασιλεὺς τὴν ἀκοὴν Ἰησοῦ, (φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ,) καὶ ἔλεγεν· Ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ· Ἄλλοι ἔλεγον Ὅτι Ἠλίας ἐστίν. Ἄλλοι δὲ ἔλεγον· Ὅτι προφήτης ἐστὶν, ἢ ὡς εἷς τῶν προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρῴδης, εἶπεν· Ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ· Ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σου. Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. Ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε. Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας· καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ Βασιλεὺς τῷ κορασίῳ· Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί. Καὶ ὤμοσεν αὐτῇ· Ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ μητρὶ αὐτῆς· Τί αἰτήσομαι; Ἡ δὲ εἶπε· Τὴν Κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ᾐτήσατο, λέγουσα· Θέλω ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι, τὴν Κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ περίλυπος γενόμενος ὁ βασιλεὺς, διὰ τοὺς ὅρκους, καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. Καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα, ἐπέταξεν ἐνεχθῆναι τὴν Κεφαλὴν αὐτοῦ. Ὁ δὲ ἀπελθὼν, ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ· καὶ ἤνεγκε τὴν Κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ, ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν τῷ μνημείῳ. Καὶ συνάγονται οἱ Ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν.

30.—Ἁγίων Ἰωάννου καὶ Παύλου τοῦ νέου Πατριαρχῶν Κωνσταντινουπ ὁσίου Φαντίνου, καὶ τῆς ἁγίας Βρυαίνης.

31.—Ἡ κατάθεσις τῆς τιμίας Ζώνης τῆς ὑπεραγίας Θεοτόκου ἐν τῷ Σεβασμίῳ αὐτῆς οἴκῳ ἐν τοῖς Χαλκοπρατίοις· ἀπὸ τῆς Ἐπισκοπῆς Ζήλας ἐπὶ Ἰουστιανοῦ τοῦ Βασιλέως· ἔτι δὲ, καὶ τοῦ γεγονότος θαύματος διὰ τῆς ἐπιθέσεως τῆς τιμίας Ζώνης εἰς τὴν Βασιλίδα Ζωὴν τὴν Σύζυγον Λέοντος τοῦ Βασιλέως. Ἀπόστολον καὶ Εὐαγγέλιον Λειτουργίας· ὅρα 8 Σεπτ. Σελ. 334.

(*) Εἰ τύχ. ἐν Κυρ. Ἀπόστολ. τῆς Θεοτόκ. Εὐαγγ. τῆς Κυρ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΑΓΓΕΛΙΑ
ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΜΝΗΜΑΣ ΑΓΙΩΝ

ΕΙΣ ΑΣΩΜΑΤΟΥΣ

(Εἶπεν ὁ Κύριος· Ὁρᾶτε, μὴ καταφρονήσητε. Ὅρα τῇ Δευτέρᾳ τοῦ ἁγ. Πνεύματος. Σελ. 64

ΕΙΣ ΠΡΟΦΗΤΑΣ

Ἐκ τοῦ κατὰ Ματθαῖον. (ΚΓ'. 29-39)

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν Προφητῶν, καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, καὶ λέγετε· Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν Προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς, ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς Προφήτας. Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. Ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης; Διὰ τοῦτο, ἰδοὺ, ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς Προφήτας, καὶ Σοφοὺς, καὶ Γραμματεῖς· καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν, καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν· ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον, ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Ἀμὴν λέγω ὑμῖν, ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς Προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτοῖς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ, ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. Λέγω γὰρ ὑμῖν· Οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν εἴπητε· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.»

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΙΣ ΑΠΟΣΤΟΛΟΥΣ

(Τῷ καιρῷ ἐκείνῳ ἰδὼν ὁ Ἰησοῦς Ὥρα 30 Ἰουνίου Σελ. 436).

ΕΙΣ ΑΠΟΣΤΟΛΟΝ

(Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς ὁ ἀκούων ὑμῶν. Ὥρα 8 Νοεμβρίου Σελ. 356.

ΕΙΣ ΜΑΡΤΥΡΑ

(Εἶπεν ὁ Κύριος· τοῖς ἑαυτοῦ Μαθηταῖς ταῦτα ἐντέλλομαι. Ὥρα Σαββάτῳ τῆς Γ'. Ἑβδομ. Σελ. 32).

ΕΙΣ ΜΑΡΤΥΡΑΣ

(Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε. Ὥρα 9 Φεβρουαρίου. Σελὶς. 404).

ΕΙΣ ΙΕΡΑΡΧΗΝ

(Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. Ὥρα 13 Νοεμ. Σελ. 358).

ΕΙΣ ΙΕΡΑΡΧΑΣ

(Εἶπεν ὁ Κύριος· ὑμεῖς ἐστὲ τὸ φῶς. Ὥρα 12 Νοεμ. Σελ. 357).

ΕΙΣ ΙΕΡΟΜΑΡΤΥΡΑΣ

Ἐκ τοῦ κατὰ Λουκᾶν. (ΙΒ'. 8-12).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν Ἀγγέλων τοῦ Θεοῦ. Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνηθήσεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε, ἢ τί εἴπητε. τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, ἃ δεῖ εἰπεῖν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΙΣ ΟΣΙΟΥΣ

(Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ. Ὅρα 6 Δεκεμβρίου. Σελις, 366).

ΕΙΣ ΟΣΙΟΜΑΡΤΥΡΑΣ

Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ Προφῆται. Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. Ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσιν οἱ εὑρίσκοντες αὐτήν. Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δὲ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλήν, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον, ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

ΕΙΣ ΓΥΝΑΙΚΑΣ ΜΑΡΤΥΡΑΣ

(Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ. Ὅρα 25 Νοεμ. Σελ. 363)

ΕΙΣ ΟΣΙΑΣ ΓΥΝΑΙΚΑΣ

(Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὁμοιώθη. Ὅρα Σαββάτῳ ΙΖ'. Ματθαίῳ Σελ. 113).

ΕΙΣ ΟΣΙΟΜΑΡΤΥΡΑΣ ΓΥΝΑΙΚΑΣ

(Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω. Ὅρα 8 Ἰουνίου. Σελ. 428.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΑΠΟΣΤΟΛΟΙ ΚΑΙ ΕΥΑΓΓΕΛΙΑ

ΕΙΣ ΔΙΑΦΟΡΟΥΣ ΤΕΛΕΤΑΣ

Νοέμ.

ΕΙΣ ΕΓΚΑΙΝΙΑ ΝΑΟΥ

Προκείμενον, ἦχος γ'.

Κύριος φωτισμός μου καὶ σωτήρ μου.

Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι. Ὅρα Σελὶς 288.

Εὐαγγέλιον

(Τῷ καιρῷ ἐκείνῳ ἐλθὼν ὁ Ἰησοῦς. Ὅρα 29 Ἰούν. Σελ. 435).

ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ

Ἀπόστολος.

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν ὅρα Σελ. 319.

Εὐαγγέλιον.

Τῷ καιρῷ ἐκείνῳ οἱ ἕνδεκα Μαθηταί ὅρα Α'. Ἐωθινόν. Σελ. 23.

ΕΙΣ ΓΑΜΟΝ

Προκείμενον, ἦχος πλ. δ'.

Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτῶν στέφανον ἐκ λίθου τιμίου.

Ζωὴν ἠτήσαν· ὁ σε, καὶ ἔδωκας αὐτοῖς μακρότητα ἡμερῶν.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. (Ε'. 20-33)

Ἀδελφοί, εὐχαριστεῖτε πάντοτε ὑπὲρ πάντων, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρί, ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ. Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε, ὡς τῷ Κυρίῳ· ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας· καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. Ἀλλ' ὥσπερ ἡ Ἐκκλησία ὑποτάσσε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αι τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν
αντί. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ
ριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐ-
ῆς, ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥή-
ατι· ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν Ἐκκλησίαν, μὴ
χουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία
αὶ ἄμωμος. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν
υναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα,
αυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ'
κτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν·
τι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ, καὶ
κ τῶν ὀστέων αὐτοῦ. Ἀντὶ τούτου, καταλείψει ἄνθρωπος τὸν
πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν
γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Τὸ μυστήριον
οῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν.
Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως
γαπάτω ὡς ἑαυτόν· ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην (Β. 1-11).

Τῷ καιρῷ ἐκείνῳ, γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ
ἦν ἡ Μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ. Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ
οἱ Μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. Καὶ ὑστερήσαντος οἴνου,
λέγει ἡ Μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι. Λέγει
αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, Γύναι; οὔπω ἥκει ἡ ὥρα μου.
Λέγει ἡ Μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅτι ἂν λέγῃ ὑμῖν, ποιή-
σατε. Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἕξ, κείμεναι κατὰ τὸν καθα-
ισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς. Λέγει
αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὕδατος· Καὶ ἐγέμισαν
αὐτὰς ἕως ἄνω. Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε
τῷ ἀρχιτρικλίνῳ. Καὶ ἤνεγκαν. Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος
τὸ ὕδωρ οἶνον γεγενημένον, (καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διά-
κονοι ᾔδεισαν, οἱ ἠντλήκατε τὸ ὕδωρ), φωνεῖ τὸν νυμφίον ὁ ἀρ-
χιτρίκλινος, καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν
οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ δὲ τετή-
ρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι. Ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν
σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν
δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ Μαθηταὶ αὐτοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπόστολος καὶ Εὐαγγέλιον εἰς Κοιμηθέντας.

Προκείμενον, ἦχος πλ. δ'.

Μακαρία ἡ ὁδὸς ᾗ πορεύῃ σήμερον, ὅτι ἡτοιμάσθη σοι τόπος ἀναπαύσεως.

Πρὸς σέ, Κύριε, κεκράξομαι ὁ Θεός μου.

Πρὸς Θεσσαλονικῆς Α'. Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. ὅρα Σελὶς, 59.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην. (Ε'. 24-30).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι Υἱὸς ἀνθρώπου ἐστί. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ· καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

ΕΙΣ ΒΡΕΦΗ.

Ἀπόστολος.

Ἀδελφοί, ὁ φρονῶν τὴν ἡμέραν. ὅρα Σελ. 88.

Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (ΙΗ'. 15-17 26-27).

Τῷ καιρῷ ἐκείνῳ, προσέφερον τῷ Ἰησοῦ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόντες δὲ οἱ Μαθηταὶ, ἐπετίμησαν αὐτοῖς. Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ, εἶπεν· Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βατιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. Λέγουσιν αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Καὶ τίς δύναται σωθῆναι; Ὁ δὲ εἶπε· Τὰ ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ Θεῷ.

Εὐαγγέλιον εἰς ἐξομολογουμένους.

Ἐκ τοῦ κατὰ Λουκᾶν. (ΙΕ'. 1-10).

Τῷ καιρῷ ἐκείνῳ, ἦσαν ἐγγίζοντες τῷ Ἰησοῦ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ, ἀκούειν αὐτοῦ. Καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ Γραμματεῖς, λέγοντες· Ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς. Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων· Τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐννενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς, ἕως εὕρῃ αὐτό; καὶ εὑρὼν, ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ, χαίρων· καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους, καὶ τοὺς γείτονας, λέγων αὐτοῖς· Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. Λέγω ὑμῖν, ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας. Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον, καὶ σαροῖ τὴν οἰκίαν, καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ; καὶ εὑροῦσα, συγκαλεῖται τὰς φίλας καὶ τὰς γείτονας, λέγουσα· Συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα. Οὕτω λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν Ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Εὐαγγέλιον εἰς ἐξομολογουμένας γυναῖκας.

Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι. Ζήτει τῇ 1-ῃ Ἀπριλίου. Σελὶς 416.

ΕΙΣ ΠΑΣΑΝ ΑΙΤΗΣΙΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Κριτής τις ἦν.

ὅρα Σαβ. τῆς ΙΣΤ'. Ἑβδομ. Λουκᾶ Σελ. 159.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1895.

Τὸ ἅγιον Πάσχα 2 Ἀπριλίου.

Κρεωφαγία ἡμέραι 43.

ἡμερομ.			Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑω0.	σελ.
Ἰανουάριος	1	Κυρ	Πρὸ τῶν Φώτων, Ἡ περιτομή	384	πλ. α.	ή.	46
	8	«	Μετὰ τὰ Φῶτα	394	πλ. β'	θ'.	25
	15	«	λδ' ΙΕ' Λουκᾶ (Ζακχαίου)	157	βαρὺς	ί.	56
	22	«	λγ' ΙΣΤ' Λουκᾶ (Τελών. Φαρ.)	160	πλ.δ'.	ιά.	60
	29	«	λδ' ΙΖ' Λουκᾶ (Τοῦ Ἀσώτ.)	162	α.	α.	23
Φεβρουάρ.	5	«	Τῆς Ἀπόκρεω	166	β'.	β'.	69
	12	«	Τῆς Τυροφάγου	170	γ'.	γ'.	51
	19	«	Πρώτη τῶν Νηστειῶν	177	δ'.	δ'.	28
	26	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. α.	έ.	13
Μάρτιος	5	«	Τρίτη τῶν Νηστειῶν	183	πλ. β'	ς'.	53
	12	«	Τετάρτη τῶν Νηστειῶν	186	βαρὺς	ζ'.	40
	19	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. δ'	ή.	46
	25	Σαβ.	(Λαζάρου καὶ Εὐαγγελισμοῦ)	191			
	26	Κυρ.	Τῶν Βαΐων	194			
Ἀπρίλιος	2	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	9	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	16	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	23	«	Τοῦ Παραλύτου (καὶ ἁγ. Γεωργ.)	33	γ'.	έ.	13
	30	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
Μάϊος	7	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. α.	ή.	46
	11	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	14	Κυρ.	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β'	ί.	56
	21	«	Ὀγδόη τῆς Πεντηκοστ.(ἁγ.Κωνστ.	61			
	22	Δευτ	Τοῦ Ἁγίου Πνεύματος	63			
	28	Κυρ.	Πρώτη Ματθαίου τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
Ἰούνιος	4	«	Δευτέρα Ματθαίου	70	α.	β'.	69
	11	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	18	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28
	25	«	Πέμπτη Ματθαίου	78	δ'.	έ.	13
	29	Πέμ.	Τῶν Ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1895.

Τὸ ἅγιον Πάσχα 2 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	2	Κυρ.	Ἕκτη Ματθαίου	81	πλ. α.	ϛ'.	53
	9	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'.	40
	16	«	Τῶν ἁγίων Πατέρων	439	βαρὺς	ή.	46
	23	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
	30	«	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
Αὔγουστος	6	«	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	13	«	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	15	Τρίτ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	20	Κυρ.	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	27	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
Σεπτέμβριος	3	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β'	δ'.	28
	10	«	Πρὸ τῆς ὑψώσεως	336			
	14	Πέμ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336	βαρὺς	έ.	13
	17	Κυρ.	Μετὰ τὴν Ὕψωσιν	339	πλ. δ'	ϛ'.	53
	24	«	τή. ἀδ. ὁ σπείρων 117. Α' Λουκᾶ	117	ά.	ζ'.	40
Ὀκτώβριος	1	«	ιθ'. ἀδ. ὁ Θεὸς 120. Β' Λουκᾶ	12	β'.	ή.	46
	8	«	κ'. ἀδ' γνωρίζω 122. Γ' Λουκᾶ	123	γ'.	θ'.	25
	15	«	Τέκνον Τίτε 246. Δ' Λουκᾶ	126	δ'.	ί.	56
	22	«	κδ'. ἀδ. ἴδετε 129. ΣΤ' Λουκᾶ	132	πλ. ά.	ιά.	60
	29	«	κγ'. ἀδ. ὁ Θεὸς 132. Ζ' Λουκᾶ	136	πλ. β'	ά.	23
Νοέμβριος	5	«	κδ'. ἀδ. Χριστὸς 135. Ε' Λουκᾶ	129	βαρὺς	β'.	69
	12	«	κέ. ἀδ. παρακαλῶ 138. Η' Λουκᾶ	139	πλ. δ'	γ'.	51
	19	«	ἀδελφ. ὡς τέκνα 63. Θ' Λουκᾶ	141	ά.	δ'.	28
	21	Τρίτ	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	26	Κυρ	κζ'. ἀδ. ἐνδυναμ. 143. ΙΓ' Λουκᾶ	152	β'.	έ.	13
Δεκέμβριος	3	«	κή. ἀδ. εὐχαριστ. 146. ΙΔ' Λουκᾶ	155	γ'.	ϛ'.	53
	10	«	λ'. ἀδ. ἐνδύσασθε 152. Γ' Λουκᾶ	144	δ'.	ζ'.	40
	17	«	κθ'. ἀδ. ὅταν 149 ΙΑ' Λουκᾶ	147	πλ. ά.	ή.	46
	24	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. β'	θ'.	25
	25	Δευτ.	Ἡ Χριστοῦ Γέννησις	379			
	31	Κυρ.	Πρὸ τῶν Φώτων	384	βαρὺς	ί.	56

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1896. ΒΙΣΕΚΤΟΝ.

Πάσχα Μαρτίου 24. Κρεωφαγία ἡμέραι 35.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Δευτ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	7	Κυρ.	Μετὰ τὰ Φῶτα	394	πλ. δ′	ιά.	60
	14	«	λγ′ ΙΣΤ′. Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	ά.	ά.	23
	21	«	λδ′ ΙΖ′. Λουκᾶ (τοῦ Ἀσώτου)	162	β′.	β′.	69
	28	«	Τῆς Ἀπόκρεω	166	γ′.	γ′.	51
Φεβρουαρ.	4	«	Τῆς Τυροφάγου	170	δ′.	δ′.	28
	11	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. ά.	έ.	13
	18	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β′	ς′.	53
	25	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ′.	40
Μάρτιος	3	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ′	ή	46
	10	«	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ′.	25
	16	Σαβ.	Τοῦ Λαζάρου	191			
	17	Κυρ.	Τῶν Βαΐων	194			
	24	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	25	Δευτ	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	31	Κυρ.	Δευτέρα Τοῦ Θωμᾶ	24		ά.	23
Ἀπρίλιος	7	«	Τρίτη Τῶν Μυροφόρων	29	β′.	δ′.	28
	14	«	Τετάρτη Τοῦ Παραλύτου	33	γ′.	έ.	13
	21	«	Πέμπτη Τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	28	«	Ἕκτη Τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
Μάϊος	2	Πεμ.	(Τῆς Ἀναλήψεως)	51			
	5	Κυρ.	Ἑβδόμη Τῶν ἁγ. Πατέρων	57	πλ. β′	ί.	56
	12	«	Ὀγδόη Τῆς Πεντηκοστῆς	61			
	13	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
	19	Κυρ	Πρώτη Ματθ Ἁγίων Πάντων	66	πλ. δ′	ά.	23
	26	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
Ἰούνιος	2	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	9	«	Τετάρτη Ματθαίου	76	γ′.	δ′.	28
	16	«	Πέμπτη Ματθαίου	78	δ′.	έ.	13
	23	«	Ἕκτη Ματθαίου	81	πλ. ά.	στ′.	53
	29	Σαβ.	Τῶν Ἁγίων Ἀποστόλων	434			
	30	Κυρ.	Ἑβδόμη Ματθαίου	83	πλ. β′	ζ′.	40

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1896. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 24 Μαρτίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	Σελ	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	7	Κυρ.	Ὀγδόη Ματθαίου	86	βαρὺς	ἡ.	46
	14	«	Τῶν ἁγίων Πατέρων	439	πλ. δ′	θ′.	25
	21	«	Δεκάτη Ματθαίου	92	ἀ.	ί.	56
	28	«	Ἑνδεκάτη Ματθαίου	95	β′.	ιά.	60
Αὔγουστος	4	«	Δωδεκάτη Ματθαίου	98	γ′.	ἀ.	23
	11	«	Δεκάτη τρίτη Ματθαίου	101	δ′.	β′.	69
	15	Πέμ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	18	Κυρ.	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ἀ.	γ′.	51
	25	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β′	δ′.	28
Σεπτέμβριος	1	«	Δεκάτη ἕκτη Ματθαίου	110	βαρὺς	έ.	13
	8	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. δ′	ς′	53
	14	Σαβ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	15	«	Μετὰ τὴν ὕψωσιν	339	ἀ.	ζ′	40
	22	«	ιθ′. ἀδ. ὁ Θεὸς 120. Α′ Λουκᾶ	117	β′.	ἡ.	46
	29	«	κ′ ἀδ. γνωριζ 122. Β′ «	121	γ′.	θ′.	25
Ὀκτώβριος	6	«	κα. ἀδ. εἰδότες 125 Γ′ Λουκᾶ	123	δ′.	ί.	56
	13	«	Τέκνον Τίτε 346. Δ′ «	126	πλ. ἀ.	ιά.	60
	20	«	κγ′ ἀδ. ὁ Θεὸς 132. ΣΤ′ «	132	πλ. β′	ἀ.	23
	27	«	κδ′ ἀδ. Χριστ. 135. Ζ′ «	136	βαρὺς	β′.	69
Νοέμβριος	3	«	κέ. ἀδ. παρακ. 138. Ε′ Λουκᾶ	129	πλ. δ′	γ′.	51
	10	«	ἀδ. ὡς τέκνα 63. Η′ «	139	ἀ.	δ′.	28
	17	«	κζ′ ἀδ ἐνδυν. 143 Θ′ «	141	β′.	έ	13
	21	Παρ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	24	«	κή ἀδ. εὐχαρ. 146. Ι′ «	152	γ′.	ς′	53
Δεκέμβριος	1	«	κθ′. ἀδ. ὅταν 149. ΙΑ′ Λουκᾶ	155	δ′.	ζ′	40
	8	«	λ′. ἀδ. ἐνδύσ. 152. Ι′ «	144	πλ. ἀ.	ἡ.	46
	15	«	κθ′. ἀδ. ὅταν 149. ΙΑ′ «	147	πλ. β′	θ′.	25
	22	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	βαρὺς	ί.	56
	25	Τετ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	29	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	πλ. δ′	ιά.	60

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1897.

Πάσχα 13 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 54.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Τετ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	5	Κυρ.	Πρὸ τῶν Φώτων	384	ά.	ά.	23
	12	«	Μετὰ τὰ Φῶτα	394	β'.	β'.	69
	19	«	κθ' 149 ΙΒ' Λουκᾶ (δέκα λεπρ.)	150	γ'.	γ'.	51
	26	«	λβ' ΙΕ' « (Ζακχαίου)	157	δ'.	δ'.	28
Φεβρουάρ.	2	«	ΙΣΤ' « (Τελώνου καὶ Φαρ.)	160	πλ. ά.	έ.	13
	9	«	ΙΖ' « (Τοῦ Ἀσώτου)	162	πλ. β'	ς'.	53
	16	«	Τῆς Ἀπόκρεω	166	βαρὺς	ζ'.	40
	23	«	Τῆς Τυροφάγου	170	πλ. δ'	ή.	46
Μάρτιος	2	«	Πρώτη τῶν Νηστειῶν	177	ά.	θ'.	25
	9	«	Δευτέρα τῶν Νηστειῶν	180	β'.	ί.	56
	16	«	Τρίτη τῶν Νηστειῶν	183	γ'.	ια.	60
	23	«	Τετάρτη τῶν Νηστειῶν	186	δ'.	ά.	23
	25	Τρ.	Τοῦ Εὐαγγελισμοῦ	413			
	30	Κυρ	Πέμπτη τῶν Νηστειῶν	189	πλ. ά.	β'.	69
Ἀπρίλιος	5	Σαβ	Τοῦ Λαζάρου	191			
	6	Κυρ	Τῶν Βαΐων	194			
	13	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	20	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	21	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
Μάϊος	4	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	11	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
	18	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	22	Πέμ.	Τῆς Ἀναλήψεως	51			
	27	Κυρ.	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β'	ί.	56
Ἰούνιος	1	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	2	Δευτ	Τοῦ ἁγ. Πνεύματος	63			
	8	Κυρ	Πρώτη Ματθ τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
	15	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	22	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	29	«	Τετάρτη Ματθ. ἁγ. Ἀποστόλων	78	γ'.	δ'.	28

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1897.

Πάσχα 13 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια		σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	6	Κυρ.	Πέμπτη Ματθαίου		78	δ΄.	έ.	13
	13	«	Τῶν ἁγίων Πατέρων		439	πλ. ά.	ς΄.	53
	20	«	Ἑβδόμη Ματθαίου		83	πλ. β΄	ζ΄.	40
	27	«	Ὀγδόη Ματθαίου		86	βαρὺς	ή.	46
Αὔγουστος	3	«	Ἐννάτη Ματθαίου		89	πλ. δ΄	θ΄.	25
	6	Τετ.	Ἡ Μεταμόρφωσις		444			
	10	Κυρ.	Δεκάτη Ματθαίου		92	ά	ί.	56
	15	Παρ.	Ἡ Κοίμησις τῆς Θεοτόκου		448			
	17	Κυρ.	Ἑνδεκάτη Ματθαίου		95	β΄.	ια.	60
	24	«	Δωδεκάτη Ματθαίου		98	γ΄.	ά.	23
	31	«	Δεκάτη τρίτη Ματθαίου		101	δ΄.	β΄.	69
Σεπτέμβρ.	7	«	Πρὸ τῆς Ὑψώσεως		336	πλ. ά.	γ΄.	51
	14	«	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ		336			
	21	«	Μετὰ τὴν Ὕψωσιν		339	βαρὺς	έ.	13
	28	«	ιζ΄ ἀδ. ὑμεῖς 114.	Α΄ Λουκᾶ	117	πλ. δ΄	ς΄.	53
Ὀκτώβριος	5	«	ιή ἀδ. ὁ σπείρων 117.	Β΄ Λουκᾶ	121	ά	ζ΄.	40
	12	«	Τέκνον Τίτε 346.	Δ΄ «	126	β΄.	ή.	46
	19	«	κ΄ ἀδ. γνωρίζω 122.	Γ΄ «	123	γ΄.	θ΄.	25
	26	«	κά ἀδ εἰδότες 125.	ΣΤ΄ «	132	δ΄.	ί.	56
Νοέμβριος	2	«	κδ΄ ἀδ. εἴδετε 129.	Ε΄ Λουκᾶ	129	πλ ά.	ια.	60
	9	«	κγ΄ ἀδ. ὁ Θεός 132.	Ζ΄ «	136	πλ. β΄	ά.	23
	16	«	κδ΄ ἀδ Χριστός 135.	Η΄ «	139	βαρὺς	β΄	69
	21	Παρ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου		361			
	23	Κυρ.	κέ ἀδ. παρακ. 138.	Θ΄ «	141	πλ. δ΄	γ΄.	51
	30	«	Ἀδ. ὡς τέκνα 63	ΙΓ΄ «	152	ά.	δ΄.	28
Δεκέμβριος	7	«	κζ΄ ἀδ ἐνδυναμ. 143.	Ι΄ Λουκᾶ	144	β΄.	έ.	13
	14	«	κθ΄ ἀδ. ὅταν 149.	ΙΑ΄ «	147	γ΄.	ς΄.	53
	21	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως		371	δ΄.	ζ΄.	40
	25	Πέμ.	Ἡ Γέννησις τοῦ Χριστοῦ		379			
	28	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν		382	πλ. ά.	ή.	46

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1898.

Πάσχα 5 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 46.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Πέμ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	4	Κυρ	Πρὸ τῶν Φώτων	384	πλ. β'	θ'.	25
	11	«	Μετὰ τὰ Φῶτα	394	βαρὺς	ί.	56
	18	«	λϑ' ΙΕ' Ἀσυκᾶ (Ζακχαίου)	157	πλ. δ'	ιά.	60
	25	«	λγ' ΙΣΤ' « (Τελών. καὶ Φαρισ.)	160	ά.	ά.	23
Φεβρουάρ	1	«	λϑ' ΙΖ' Τοῦ Ἀσώτου	162	β'.	β'.	69
	8	«	Τῆς Ἀπόκρεω	166	γ'.	γ'.	51
	15	«	Τῆς Τυροφάγου	170	δ'.	δ'.	28
	22	«	Πρώτη Τῶν Νηστειῶν	177	πλ. ά.	έ	13
Μάρτιος	1	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β'	ς'.	53
	8	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ'.	40
	15	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ'	ή.	46
	22	«	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ'.	25
	25	Τετ.	Τοῦ Εὐαγγελισμοῦ	413			
	28	Σαϐ.	Τοῦ Λαζάρου	191			
	29	Κυρ	Τῶν Βαΐων	194			
Ἀπρίλιος	5	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	12	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	19	«	Τρίτη τῶν Μυροφόρων	29	δ'.	δ'.	28
	26	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ	13
Μάιος	3	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
	10	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	14	Πεμ.	Τῆς Ἀναλήψεως	51			
	17	Κυρ	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β'	ί.	56
	24	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	25	Δευτ	Τοῦ ἁγ. Πνεύματος	63			
	31	Κυρ	Πρώτη Ματθ. Τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
Ἰούνιος	7	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	14	«	Τρίτη Ματθαίου	72	β'	γ'.	51
	21	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28
	28	«	Πέμπτη Ματθαίου	79	δ'.	έ.	13
	29	Δευτ	Τῶν ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1898.

Πάσχα 5 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ
Ἰούλιος	5	Κυρ.	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	12	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'.	40
	19	«	Τῶν ἁγίων Πατέρων	439	βαρὺς	ή.	46
	26	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
Αὔγουστος	2	«	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
	6	Πέμ.	Ἡ μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	9	Κυρ	Ἑνδεκάτη Ματθαίου	95	β'.	ια.	60
	15	Σαβ	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	16	Κυρ	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	23	«	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	30	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
Σεπτέμβριος	6	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β'	δ'.	28
	13	«	Πρὸ τῆς Ὑψώσεως	336	βαρὺς	έ.	13
	14	Δευτ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	20	Κυρ.	Μετὰ τὴν Ὕψωσιν	339	πλ. δ'	ς'.	53
	27	«	ιή ἀδ. ὁ σπείρων *117* Α' Λουκᾶ	117	ά.	ζ'.	40
Ὀκτώβριος	4	«	ιθ'. ἀδ. ὁ Θεὸς 120. Β' Λουκᾶ	121	β'.	ή.	46
	11	«	Τέκνον Τίτε 346. Δ' «	126	γ'.	θ'.	2
	18	«	κά ἀδ. εἰδότες 125. Γ' «	123	δ'.	ί.	56
	25	«	κβ' ἀδ εἴδετε 129. ΣΤ' «	132	πλ. ά.	ια	60
Νόεμβριος	1	«	κγ' ἀδ. ὁ Θεὸς 132. Ε' Λουκᾶ	129	πλ. β'	ά	23
	8	«	κδ' ἀδ. Χριστὸς 135. Ζ' «	136	βαρὺς	β'	69
	15	«	κέ ἀδ παραν. 138. Η' «	139	πλ. δ'	γ'.	51
	21	Σαβ	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	22	Κυρ	Ἀδ. ὡς τέκνα 63. Θ' «	141	ά.	δ'	28
	29	«	κζ' ἀδ.ἐνδυναμ. 143. Ι' «	152	β'	έ.	13
Δεκέμβριος	6	«	κή. ἀδ. εὐχαρ. 146. Ι' Λουκᾶ	144	γ'.	ς'.	53
	13	«	κθ'. ἀδελ. ὅταν 149. ΙΑ' «	147	δ'.	ζ'.	40
	20	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. ά.	ή.	46
	25	Παρ.	Ἡ Χριστοῦ Γέννησις	379			
	27	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	πλ. β'	θ'.	25

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1899.

Πάσχα 18 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 59.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Παρ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	3	Κυρ.	Πρὸ τῶν Φώτων	384	βαρύς	ί.	56
	10	«	Μετὰ τὰ Φῶτα	394	πλ. δ'	ιά.	60
	17	«	κθ' 149 ΙΒ' Λουκᾶ (δέκα λεπρ.)	150	ά.	ά.	23
	24	«	λδ' 157 ΙΕ' « (Ζακχαίου)	157	β'.	β'.	69
	31	«	ΙΖ' Ματθαίου (Χαναναίας) 115	114	γ'.	γ'.	51
Φεβρουάρ.	7	«	ιζ'. ΙΣΤ' Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	δ'.	δ'.	28
	14	«	λδ'. ΙΖ' « (Τοῦ Ἀσώτου)	162	πλ. ά.	έ.	13
	21	«	Τῆς Ἀπόκρεω	166	πλ. β'	ς'.	53
	28	«	Τῆς Τυροφάγου	170	βαρὺς	ζ'.	40
Μάρτιος	7	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. δ'	ή.	46
	14	«	Δευτέρα τῶν Νηστειῶν	180	ά.	θ'.	25
	21	«	Τρίτη τῶν Νηστειῶν	183	β'.	ί.	56
	25	Πέμ.	Τοῦ Εὐαγγελισμοῦ	413			
	28	Κυρ	Τετάρτη τῶν Νηστειῶν	186	γ'.	ιά.	60
Ἀπρίλιος	4	«	Πέμπτη τῶν Νηστειῶν	189	δ'.	ά.	23
	10	Σαβ	Τοῦ Λαζάρου	191			
	11	Κυρ	Τῶν Βαΐων	194			
	18	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	25	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
Μάϊος	2	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	9	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	16	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
	23	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	27	Πέμ.	Τῆς Ἀναλήψεως	51			
	30	Κυρ	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β'	ί.	56
Ἰούνιος	6	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	7	Δευτ	Τοῦ ἁγ. Πνεύματος	63			
	13	Κυρ	Πρώτη Ματθ τῶν ἁγ. Πάντων.	66	πλ. δ'	ά.	23
	20	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	27	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	29	Τρ.	Τῶν ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1899.

Πάσχα 18 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	Σελ	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	4	Κυρ.	Τετάρτη Ματθαίου	76	γ'.	β'.	28
	11	«	Πέμπτη Ματθαίου	78	δ'.	έ.	13
	18	«	Τῶν ἁγίων Πατέρων	439	πλ. ά.	ς'	53
	25	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'	40
Αὔγουστος	1	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ή.	46
	6	Παρ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	8	Κυρ.	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
	15	«	Ἡ Κοίμησις τῆς Θεοτόκου	448	ά.	ί.	56
	22	«	Ἑνδεκάτη Ματθαίου	95	β'.	ιά.	60
	29	«	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
Σεπτέμβριος	5	«	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	12	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. α.	γ'.	51
	14	Τρίτ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	19	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	πλ. β'	θ'.	28
	26	«	ις'. ἀδ. συνεργ. 110 Α' Λουκᾶ	117	βαρὺς	έ.	13
Ὀκτώβριος	3	«	ιζ'. ἀδ. ὑμεῖς 114. Β' Λουκᾶ	121	πλ. δ'	ς'	53
	10	«	ιή ἀδ. ὁ σπείρων 117. Γ' «	123	ά.	ζ'.	40
	17	«	Τέκνον Τίτε 346. Δ' «	126	β'.	ή.	46
	24	«	κ' ἀδ. γνωρίζω 122. ΣΤ' «	132	γ'.	θ'.	25
	31	«	καὶ ἀδ εἴδετε 125. Ε' «	129	δ'.	ί.	56
Νοέμβριος	7	«	κθ' ἀδ. εἴδετε 129 Ζ' Λουκᾶ	136	πλ. ά.	ιά.	60
	14	«	κγ' ἀδ ὁ Θεὸς 132. Η' «	139	πλ. β'	ά.	23
	21	«	κδ' ἀδ. Χριστὸς 135. Θ' « καὶ τὰ Εἰσόδια τῆς Θεοτόκου	141 361	βαρὺς	β'.	69
	28	«	κέ. ἀδ πασαι. 138. Ιʹ Λουκᾶ	152	πλ. δ'	γ'.	51
Δεκέμβριος	5	«	ἀδ. ὡς τέκνα 63. Ι' Λουκᾶ	144	ά.	δ'.	28
	12	«	κθ'. ἀδ ὅταν 149. ΙΑ' «	147	β'.	έ	13
	19	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	γ'.	ς'	53
	25	Σαβ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	26	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	δ'	ζ'	40

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1900. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 9 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 51.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Σαβ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	2	Κυρ.	Πρὸ τῶν Φώτων.	384	πλ. ά.	ή.	46
	9	«	Μετὰ τὰ Φῶτα	394	πλ. β′	θ′	25
	16	«	κθ′ 149. ΙΒ′ Λουκᾶ (δέκα λεπρ.)	150	βαρὺς	ί.	56
	23	«	λδ′ 157 ΙΕ′ Λουκᾶ (Ζακχαίου)	157	πλ. δ′	ιά.	60
	30	«	λγ′ ΙΣΤ′. Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	ά.	ά.	23
Φεβρουάρ.	6	«	λδ′ ΙΖ′. Λουκᾶ (τοῦ Ἀσώτου)	762	β′.	β′.	69
	13	«	Τῆς Ἀπόκρεω	166	γ′.	γ′.	51
	20	«	Τῆς Τυροφάγου	170	δ′.	δ′.	28
	27	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. ά.	έ.	13
Μάρτιος	5	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β′	ς′.	53
	12	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ′.	40
	19	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ′	ή	46
	25	Σαβ.	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	26	Κυρ.	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ′.	25
Ἀπρίλιος	1	Σαβ	Τοῦ Λαζάρου	191			
	2	Κυρ	Τῶν Βαΐων	194			
	9	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	16	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	23	«	Τρίτη τῶν Μυροφόρων	29	β′.	δ′.	28
	30	«	Τετάρτη τοῦ Παραλύτου	33	γ′.	έ.	13
Μαΐος	7	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	14	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	18	Πεμ.	(Τῆς Ἀναλήψεως)	51			
	21	Κυρ.	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β′	ί.	56
	28	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	29	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
Ἰούνιος	4	Κυρ	Πρώτη Ματθ Ἁγίων Πάντων	66	πλ. δ′	ά.	23
	11	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	18	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	25	«	Τετάρτη Ματθαίου	76	γ′.	δ′.	28
	29	Πεμ.	Τῶν Ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1900. ΒΙΣΕΚΤΟΝ.

Τὸ ἅγιον Πάσχα 9 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	2	Κυρ.	Πέμπτη Ματθαίου	78	δ'	έ	13
	9	«	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	16	«	Τῶν ἁγίων Πατέρων	439	πλ. β'	ζ'.	40
	23	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ή.	46
	30	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
Αὔγουστος	6	«	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	13	«	Ἑνδεκάτη Ματθαίου	95	β'	ιά.	60
	15	Τρίτ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	20	Κυρ.	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	27	«	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	
Σεπτέμβριος	3	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
	10	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. β'	δ'.	28
	14	Πέμ.	Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	17	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	βαρὺς	έ.	13
	24	«	ιζ' ἀδ. ὑμεῖς 114 Α' Λουκᾶ	117	πλ. δ'	ς'.	53
Ὀκτώβριος	1	«	ιή. ἀδ. ὁ σπείρων 117. Β' Λουκᾶ	121	ά.	ζ'.	40
	8	«	ιθ'. ἀδ. ὁ Θεός 120. Γ' Λουκᾶ	123	β'.	ή.	46
	15	«	Τέκνον Τίτε 346. Δ' Λουκᾶ	126	γ'.	θ'.	25
	22	«	κά. ἀδ εἰδότες 125. ΣΤ' Λουκᾶ	132	δ'.	ί.	56
	29	«	κδ'. ἀδ. εἴδετε 129. Ζ' Λουκᾶ	136	πλ. ά.	ιά.	60
Νοέμβριος	5	«	κγ'. ἀδ. ὁ Θεός 132. Ε' Λουκᾶ	129	πλ. β'	ά.	23
	12	«	κδ'. ἀδ. Χριστὸς 135. Η' Λουκᾶ	139	βαρὺς	β'.	69
	19	«	κέ. ἀδ. παρακαλῶ 138. Θ' Λουκᾶ	141	πλ. δ'	γ'.	51
	21	Τρίτ	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	26	Κυρ	ἀδελφ. ὡς τέκνα 63. ΙΓ' Λουκᾶ	152	ά.	δ'.	28
Δεκέμβριος	3	«	κζ'. ἀδ. ἐνδυναμ. 143. ΙΔ' Λουκᾶ	155	β'.	έ.	13
	10	«	κή. ἀδ. εὐχαριστ. 146. Γ' Λουκᾶ	144	γ'.	ς'.	53
	17	«	κθ'. ἀδ. ὅταν 149 ΙΑ' Λουκᾶ	147	δ'.	ζ'.	40
	24	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. ά.	ή.	46
	25	Δευτ.	Ἡ Χριστοῦ Γέννησις	379			
	31	Κυρ.	Πρὸ τῶν Φώτων	384	πλ. β'	θ'.	25

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1901.

Τὸ ἅγιον Πάσχα 1 Ἀπριλίου.

Κρεωφαγία ἡμέραι 42.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Δευτ.	Ἡ περιτομὴ καὶ ἁγ. Βασιλείου	384			
	7	Κυρ	Μετὰ τὰ Φῶτα	394	βαρὺς	ί.	36
	14	«	λϑ' ΙΕ' Λουκᾶ (Ζακχαίου)	157	πλ.δ'.	ιά.	60
	21	«	λγ' ΙΣΤ' Λουκᾶ (Τελών. Φαρ.)	160	ά.	ά.	23
	28	«	λδ' ΙΖ' Λουκᾶ (Τοῦ Ἀσώτ.)	162	β'.	β'.	69
Φεβρουάρ	4	«	Τῆς Ἀπόκρεω	166	γ'.	γ'.	51
	11	«	Τῆς Τυροφάγου	170	δ'.	δ'.	28
	18	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. ά.	έ.	13
	25	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β'	ς'.	53
Μάρτιος	4	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ'.	40
	11	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ'	ή.	46
	18	«	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ'.	25
	24	Σαϐ.	(Τοῦ Λαζάρου)	191			
	25	Κυρ.	Τῶν Βαΐων καὶ Εὐαγγελισμοῦ	194			
Ἀπρίλιος	1	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	8	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	15	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	22	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	29	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
Μάϊος	6	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	10	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	13	Κυρ.	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β'	ί.	56
	20	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	21	Δευτ	Τοῦ Ἁγίου Πνεύματος	63			
	27	Κυρ.	Πρώτη Ματθαίου τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
Ἰούνιος	3	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	10	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	17	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28
	24	«	Πέμπτη Ματθαίου	78	δ'.	έ.	13
	29	Παρ.	Τῶν Ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1901.

Τὸ ἅγιον Πάσχα 1 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	1	Κυρ.	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	8	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'.	40
	15	«	Τῶν ἁγίων Πατέρων	439	βαρὺς	ή.	46
	22	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
	29	«	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
Αὔγουστος	5	«	Ἑνδεκάτη Ματθαίου	95	β'	ιά.	60
	6	Δευτ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	12	Κυρ.	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	15	Τετ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	19	Κυρ.	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	26	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
Σεπτέμβριος	2	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β'	δ'.	28
	9	«	Πρὸ τῆς ὑψώσεως	336	βαρὺς	έ.	13
	14	Παρ.	Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	16	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	πλ. δ'	ς'.	53
	23	«	ιή. ἀδ. ὁ σπείρων 117. Α' Λουκᾶ	117	ά.	ζ'.	40
	30	«	ιθ'. ἀδ. ὁ Θεός 120. Β' Λουκᾶ	120	β'.	ή.	46
Ὀκτώβριος	7	«	κ'. ἀδ. γνωρίζω 122. Γ' Λουκᾶ	122	γ'.	θ'.	25
	14	«	Τέκνον Τίτε 346. Δ' Λουκᾶ	126	δ'.	ί.	56
	21	«	κδ'. ἀδ. εἴδετε 129. ΣΤ' Λουκᾶ	132	πλ. ά.	ιά.	60
	28	«	κγ'. ἀδ. ὁ Θεός 132. Ζ' Λουκᾶ	136	πλ. β'	ά.	23
Νοέμβριος	4	«	κδ'. ἀδ. Χριστὸς 135. Ε' Λουκᾶ	129	βαρὺς	β'.	69
	11	«	κέ. ἀδ. παρακαλῶ 138. Η' Λουκᾶ	139	πλ. δ'	γ'.	51
	18	«	ἀδελφ. ὡς τέκνα 63. Θ' Λουκᾶ	141	ά.	δ'.	28
	21	Τετ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	25	Κυρ	κζ'. ἀδ. ἐνδυναμ. 143. ΙΓ' Λουκᾶ	152	β'.	έ.	13
Δεκέμβριος	2	«	κή. ἀδ. εὐχαριστ. 146. ΙΔ' Λουκᾶ	155	γ'.	ς'.	53
	9	«	λ'. ἀδ. ἐνδύσασ. 152. Ι' Λουκᾶ	144	δ'.	ζ'.	40
	16	«	κθ'. ἀδ. ὅταν 149. ΙΑ' Λουκᾶ	147	πλ. ά.	ή.	46
	23	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. β'	θ'.	25
	25	Τρίτ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	30	Κυρ.	Πρὸ τῶν Φώτων	384	βαρὺς	ί.	56

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1902.

Πάσχα 14 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 55.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Τρίτ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	6	Κυρ.	Τὰ ἅγια Θεοφάνεια	391			
	13	«	Μετὰ τὰ Φῶτα	394	ά.	ά.	23
	20	«	κθ' 149. ΙΒ' Λουκᾶ (δέκα λεπρ.)	150	β'.	β'.	69
	27	«	λδ' 157 ΙΕ' Λουκᾶ (Ζακχαίου)	157	γ'.	γ'.	51
Φεβρουάρ.	3	«	λγ' ΙΣΤ'. Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	δ'.	δ'.	28
	10	«	λδ' ΙΖ'. Λουκᾶ (τοῦ Ἀσώτου)	162	πλ. ά.	έ.	13
	17	«	Τῆς Ἀπόκρεω	166	πλ. β'	ς'.	53
	24	«	Τῆς Τυροφάγου	170	βαρὺς	ζ'.	40
Μάρτιος	3	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. δ'	ή	46
	10	«	Δευτέρα τῶν Νηστειῶν	180	ά.	θ'.	25
	17	«	Τρίτη τῶν Νηστειῶν	183	β'	ί.	56
	24	«	Τετάρτη τῶν Νηστειῶν	186	γ'.	ιά.	60
	25	Δετ.	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	31	Κυρ.	Πέμπτη τῶν Νηστειῶν	189	δ'	ά.	23
Ἀπρίλιος	6	Σαβ	Τοῦ Λαζάρου	191			
	7	Κυρ	Τῶν Βαΐων	194			
	14	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	21	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	28	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
Μάϊος	5	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	12	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
	19	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	23	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	26	Κυρ	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β'	ί.	56
Ἰούνιος	2	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	3	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
	9	Κυρ	Πρώτη Ματθ Ἁγίων Πάντων	66	πλ. δ'	ά.	23
	16	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	23	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	30	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1902.

Πάσχα 14 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	Σελ	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	7	Κυρ.	Πέμπτη Ματθαίου	78	δ΄.	έ.	13
	14	«	Τῶν ἁγίων Πατέρων	439	πλ. ά.	ς΄	53
	21	«	Ἑβδόμη Ματθαίου	83	πλ. β΄	ζ΄	40
	28	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ή.	46
Αὔγουστος	4	«	Ἐννάτη Ματθαίου	89	πλ. δ΄	θ΄.	25
	6	Τρίτ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	11	Κυρ.	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
	15	Πέμ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	18	Κυρ.	Ἑνδεκάτη Ματθαίου	95	β΄.	ιά.	60
	25	«	Δωδεκάτη Ματθαίου	98	γ΄.	ά.	23
Σεπτέμβριος	1	«	Δεκάτη τρίτη Ματθαίου	101	δ΄.	β΄.	69
	8	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. ά.	γ΄.	51
	14	Σαβ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	15	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	πλ. β΄	δ΄.	28
	22	«	ιε΄. ἀδ. συνεργ. 110. Α΄ Λουκᾶ	117	βαρὺς	έ.	13
	29	«	ιζ΄. ἀδ ὑμεῖς 114 Β΄ «	121	πλ. δ΄	ς΄	53
Ὀκτώβριος	6	«	ιή ἀδ. ὁ σπείρων 117. Γ΄ Λουκᾶ	123	ά.	ζ΄	40
	13	«	Τέκνον Τίτε 346. Δ΄ «	126	β΄.	ή.	46
	20	«	κ΄ ἀδ. γνωρίζω 122. ΣΤ΄ «	132	γ΄.	θ΄.	25
	27	«	κά ἀδ εἰδότες 125 Ζ΄ «	136	δ΄.	ί.	56
Νοέμβριος	3	«	κβ΄ ἀδ. εἰδετε 129 Ε΄ Λουκᾶ	129	πλ. ά.	ιά.	60
	10	«	κγ΄ ἀδ ὁ Θεὸς 132. Η΄ «	139	πλ. β΄	ά.	23
	17	«	κδ΄ ἀδ. Χριστὸς 135 Θ΄ «	141	βαρὺς	β΄.	69
	21	Πεμ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	24	Κυρ.	κέ. ἀδ παρακ. 138 ΙΓ΄ Λουκᾶ	152	πλ. δ΄	γ΄.	51
Δεκέμβριος	1	«	ἀδ. ὡς τέκνα 63 ΙΔ΄ Λουκᾶ	155	ά.	δ΄.	28
	8	«	κζ΄. ἀδ. ἐνδυν. 143. Ι΄ «	144	β΄.	έ	13
	15	«	κθ΄. ἀδ ὅταν 149. ΙΑ΄ «	147	γ΄.	ς΄	53
	22	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	δ΄	ζ΄	40
	25	Τετ	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	29	Κυρ.	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	πλ. ά.	ή.	46

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1903.

Πάσχα 6 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 47.

ἡμερομ.			Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Τετ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	5	Κυρ	Πρὸ τῶν Φώτων	384	πλ. β′	θ′.	25
	12	«	Μετὰ τὰ Φῶτα	394	βαρὺς	ί.	56
	19	«	λϑ′ ΙΕ′ Λουκᾶ (Ζακχαίου)	157	πλ. δ′	ιά.	60
	26	«	λγ′ ΙΣΤ′ « (Τελών. καὶ Φαρισ.)	160	ά.	ά.	23
Φεβρουαρ.	2	«	λδ′ ΙΖ′ Τοῦ Ἀσώτου	162	β′.	β′.	69
	9	«	Τῆς Ἀπόκρεω	166	γ′.	γ′.	51
	16	«	Τῆς Τυροφάγου	170	δ′.	δ′.	28
	23	«	Πρώτη Τῶν Νηστειῶν	177	πλ. ά.	έ	13
Μαρτιος	2	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β′	ς′.	53
	9	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ′.	40
	16	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ′	ή.	46
	23	«	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ′.	25
	25	Τρίτ.	Τοῦ Εὐαγγελισμοῦ	413			
	29	Σαϐ.	Τοῦ Λαζάρου	191			
	30	Κυρ	Τῶν Βαΐων	194			
Ἀπρίλιος	6	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	13	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	20	«	Τρίτη τῶν Μυροφόρων	29	δ′.	δ′.	28
	27	«	Τετάρτη τοῦ Παραλύτου	33	γ′.	έ	13
Μάϊος	4	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	11	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	15	Πέμ.	Τῆς Ἀναλήψεως	51			
	18	Κυρ	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β′	ί.	56
	25	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	26	Δευτ.	Τοῦ ἁγ. Πνεύματος	63			
Ἰούνιος	1	Κυρ.	Πρώτη Ματθ. Τῶν ἁγ. Πάντων	66	πλ. δ′	ά.	23
	8	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	15	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	22	«	Τετάρτη Ματθαίου	76	γ′.	δ′.	28
	29	«	Πέμπτη Ματθ. ἁγ. Ἀποστόλων	79	δ′.	έ.	13

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1903.

Πάσχα 6 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ
Ἰούλιος	6	Κυρ.	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	13	«	Τῶν ἁγίων Πατέρων	439	πλ. β'	ζ'.	40
	20	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ή.	46
	27	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
Αὔγουστος	3	«	Δεκάτη Ματθαίου	92	ά.	ι.	56
	6	Τετ.	Ἡ μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	10	Κυρ.	Ἑνδεκάτη Ματθαίου	95	β'.	ια.	60
	15	Παρ	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	17	Κυρ.	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	24	«	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	31	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
Σεπτέμβ	7	«	Πρὸ τῆς Ὑψώσεως	336	πλ. β'	δ'.	28
	14	«	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	21	«	Μετὰ τὴν Ὕψωσιν	339	πλ. δ'	ς'.	53
	28	«	ιή ἀδ. ὁ σπείρων *117.* Α' Λουκᾶ	117	ά.	ζ'.	40
Ὀκτώβριος	5	«	ιθ'. ἀδ. ὁ Θεός 120. Β' Λουκᾶ	121	β'.	ή.	46
	12	«	Τέκνον Τίτε 346. Δ' «	126	γ'.	θ'.	25
	19	«	κά. ἀδ. εἰδότες 125. Γ' «	123	δ'.	ι.	56
	26	«	κβ' ἀδ. εἴδετε 129. ΣΤ' «	132	πλ. ά.	ια.	60
Νοέμβριος	2	«	κγ' ἀδ. ὁ Θεός 132. Ε' Λουκᾶ	129	πλ. β'	ά.	23
	9	«	κδ' ἀδ. Χριστός 135. Ζ' «	136	βαρὺς	β'.	69
	16	«	κέ ἀδ. παρακαλῶ 138. Η' «	139	πλ. δ'	γ'.	51
	21	Παρ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	23	Κυρ	Ἀδ. ὡς τέκνα 63. Θ' «	141	ά	δ'.	28
	30	«	κζ' ἀδ. ἐνδυναμ. 143. ΙΓ' «	152	β'.	έ.	13
Δεκέμβριος	7	«	κή. ἀδ. εὐχαρ. 146. Ι' Λουκᾶ	144	γ'.	ς'.	53
	14	«	κθ'. ἀδελ. ὅταν 149. ΙΑ' «	147	δ'.	ζ'.	40
	21	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. ά.	ή.	46
	25	Πεμ.	Ἡ Χριστοῦ Γέννησις	379			
	28	Κυρ.	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	πλ. β'	θ'.	25

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1904. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 28 Μαρτίου. Κρεωφαγία ἡμέραι 39

ἡμερομ.			Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Πέμ.	Ἡ περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	4	Κυρ	Πρὸ τῶν Φώτων.	384	βαρὺς	ί.	36
	11	«	Μετὰ τὰ Φῶτα	394	πλ. δ'.	ιά.	60
	18	«	λγ' ΙΣΤ' Λουκᾶ (Τελών. Φαρ.)	160	ά.	ά.	23
	25	«	λδ' ΙΖ' Λουκᾶ (Τοῦ Ἀσώτ.)	162	β'.	β'.	69
Φεβρουάρ	1	«	Τῆς Ἀπόκρεω	166	γ'.	γ'.	51
	8	«	Τῆς Τυροφάγου	170	δ'.	δ'.	28
	15	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. ά.	έ.	13
	22	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β'	ς'.	53
	29	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ'.	40
Μάρτιος	7	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ'	ή.	46
	14	«	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ'.	25
	20	Σαβ.	(Τοῦ Λαζάρου)	191			
	21	«	Τῶν Βαΐων	194			
	25	Πέμ.	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	28	Κυρ.	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
Ἀπρίλιος	4	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	11	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	18	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	25	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
Μάϊος	2	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	6	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	9	Κυρ.	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β'	ί.	56
	16	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	17	Δευτ	Τοῦ Ἁγίου Πνεύματος	63			
	23	Κυρ.	Πρώτη Ματθαίου τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
	30	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
Ἰούνιος	6	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	13	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28
	20	«	Πέμπτη Ματθαίου	78	δ'.	έ.	13
	27	«	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	29	Τρίτ	Τῶν Ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1904. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 28 Μαρτίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	4	Κυρ.	Ἑβδόμη Ματθαίου	83	πλ. β′	ζ′.	40
	11	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ἡ.	46
	18	«	Τῶν ἁγίων Πατέρων	439	πλ. δ′	θ′.	25
	25	«	Δεκάτη Ματθαίου	92	ἀ	ἰ.	56
Αὔγουστος	1	«	Ἑνδεκάτη Ματθαίου	95	β′.	ιά.	60
	6	Παρ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	8	Κυρ.	Δωδεκάτη Ματθαίου	98	γ′.	ά.	23
	15	«	Ἡ Κοίμησις τῆς Θεοτόκου	448	δ′.	β′.	69
	22	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ′.	51
	29	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β′	δ′.	28
Σεπτέμβρ.	5	«	Δεκάτη ἕκτη Ματθαίου	110	βαρὺς	έ.	13
	12	«	Πρὸ τῆς Ὑψώσεως	336	πλ. δ′	ς′.	53
	14	Τρίτ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	19	Κυρ.	Μετὰ τὴν Ὕψωσιν	339	ἀ	ζ′.	40
	26	«	θ′. ἀδ. ὁ Θεός 120. Α′ Λουκᾶ	117	β′.	ἡ.	46
Ὀκτώβριος	3	«	κ′ ἀδ. γνωρίζω 122. Β′ Λουκᾶ	121	γ′.	θ′.	25
	10	«	κά ἀδ. εἰδότες 125. Γ′ «	123	δ′.	ἰ.	56
	17	«	Τέκνον Τίτε 346. Δ′ «	126	πλ. ά.	ιά.	60
	24	«	κγ′ ἀδ ὁ Θεός 132. ΣΤ′ «	132	πλ. β′	ά.	23
	31	«	κδ′ ἀδ Χριστὸς 135. Ε′ Λουκᾶ	129	βαρὺς	β′	69
Νοέμβριος	7	«	κέ ἀδ. παρακ. 138. Ζ′ Λουκᾶ	136	πλ. δ′	γ′.	51
	14	«	Ἀδελ. ὡς τέκνα 63 Η′ «	139	ά.	δ′.	28
	21	«	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361	β′.	έ.	13
	28	«	κή ἀδ. εὐχαριστ. 146. ΙΓ′ «	152	γ′.	ς′.	53
Δεκέμβριος	5	«	κ′ ἀδ. ἐνδύσας. 152. Ι′ Λουκᾶ	144	δ′.	ζ′.	40
	12	«	κθ′ ἀδ. ὅταν 149. ΙΑ′ «	147	πλ. ά.	ἡ.	46
	19	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. β′	θ′.	
	25	Σαβ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	26	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	βαρὺς	ἰ.	56

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1905.

Πάσχα 17 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 58.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Σαβ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	2	Κυρ.	Πρὸ τῶν Φώτων	384	πλ. δ′	ιά.	60
	9	«	Μετὰ τὰ Φῶτα	394	ά.	ά.	23
	16	«	κθ′ 149 ΙΒ′ Λουκᾶ (δέκα λεπρ.)	150	β′.	β′.	69
	23	«	λδ′ 157 ΙΕ′ « (Ζακχαίου)	157	γ′.	γ′.	51
	30	«	ζ′. 114 ΙΖ′ Ματθ. (Χαναναίας)	115	δ′.	δ′.	28
Φεβρουάρ.	6	«	λγ′ ΙΣΤ′ Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	πλ. ά.	έ.	13
	13	«	λδ′. ΙΖ′ « (Τοῦ Ἀσώτου)	162	πλ. β′	ς′.	53
	20	«	Τῆς Ἀπόκρεω	166	βαρὺς	ζ′.	40
	27	«	Τῆς Τυροφάγου	170	πλ. δ′	ή.	46
Μάρτιος	6	«	Πρώτη τῶν Νηστειῶν	177	ά.	θ′.	25
	13	«	Δευτέρα τῶν Νηστειῶν	180	β′.	ί.	56
	20	«	Τρίτη τῶν Νηστειῶν	183	γ′.	ιά.	60
	25	Παρ.	Τοῦ Εὐαγγελισμοῦ	413			
	27	Κυρ.	Τετάρτη τῶν Νηστειῶν	186	δ′.	ά.	23
Ἀπρίλιος	3	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. ά.	β′.	67
	9	Σαβ	Τοῦ Λαζάρου	191			
	10	Κυρ	Τῶν Βαΐων	194			
	17	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	24	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
Μάϊος	1	«	Τρίτη τῶν Μυροφόρων	29	β′.	δ′.	28
	8	«	Τετάρτη τοῦ Παραλύτου	33	γ′.	έ.	13
	15	«	Πέμτη τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	22	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	26	Πέμ.	Τῆς Ἀναλήψεως	51			
	29	Κυρ.	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β′	ί.	56
Ἰούνιος	5	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	6	Δευτ	Τοῦ ἁγ. Πνεύματος	63			
	12	Κυρ	Πρώτη Ματθ τῶν ἁγ. Πάντων	66	πλ. δ′	ά.	23
	19	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	26	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	29	Τετ.	Τῶν ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1905.

Πάσχα 17 Ἀπριλίου

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	3	Κυρ.	Τετάρτη Ματθαίου	76	γ΄.	δ΄.	28
	10	«	Πέμπτη Ματθαίου	78	δ΄.	έ.	13
	17	«	Τῶν ἁγίων Πατέρων	439	πλ. ά.	ς΄.	53
	24	«	Ἑβδόμη Ματθαίου	83	πλ. β΄	ζ΄.	40
	31	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ή.	46
Αὔγουστος	6	Σαβ.	Ἡ μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	7	Κυρ.	Ἐννάτη Ματθαίου	89	πλ. δ΄	θ΄.	25
	14	«	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
	15	Δευτ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	21	Κυρ.	Ἑνδεκάτη Ματθαίου	95	β΄.	ιά.	60
	28	«	Δωδεκάτη Ματθαίου	98	γ΄.	ά.	23
Σεπτέμβ.	4	«	Δεκάτη τρίτη Ματθαίου	101	δ΄.	β΄.	69
	11	«	Πρὸ τῆς Ὑψώσεως	336	πλ. ά.	γ΄.	51
	14	Τετ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	18	Κυρ	Μετὰ τὴν Ὕψωσιν	339	πλ. β΄	δ΄.	28
	25	«	ις΄ ἀδ. συνεργ. *110.* Α΄ Λουκᾶ	117	βαρὺς	έ.	13
Ὀκτώβριος	2	«	ιζ΄ ἀδ. ὑμεῖς 114. Β΄ Λουκᾶ	*121*	πλ. δ΄	ς΄.	53
	9	«	ιή ἀδ. ὁ σπείρων *117.* Γ΄ «	123	ά.	ζ΄.	40
	16	«	Τέκνον Τίτε 346. Δ΄ «	126	β΄.	ή.	46
	23	«	κ΄. ἀδ. γνωρίζω *122.* ΣΤ΄ «	132	γ΄.	θ΄.	25
	30	«	κά. ἀδ. εἰδότες 125. Ε΄ Λουκᾶ	129	δ΄.	ί.	56
Νοέμβριος	6	«	κβ΄ ἀδ εἴδετε 129. Ζ΄ «	136	πλ. ά.	ιά	60
	13	«	κγ΄ ἀδ. ὁ Θεός 132. Η΄ «	139	πλ. β΄	ά.	23
	20	«	κδ΄ ἀδ. Χριστὸς 135. Θ΄ «	141	βαρὺς	β΄.	69
	21	Δευτ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	*361*			
	27	Κυρ	κέ ἀδ. παρακαλῶ 138 ΙΓ΄ «	152	πλ. δ΄	γ΄	51
Δεκέμβριος	4	«	Ἀδ. ὡς τέκνα 6-3. Γ΄ Λουκᾶ	144	ά	δ΄	28
	11	«	κθ΄. ἀδελ. ὅταν 149. ΙΑ΄ «	147	β΄.	έ.	13
	18	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	*371*	γ΄.	ς΄.	53
	25	«	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1906.

Πάσχα 2 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 43.

ἡμερομ.			Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Κυρ	Πρὸ τῶν Φώτων. Ἡ Περιτομή	384	πλ. ά.	ή.	46
	8	«	Μετὰ τὰ Φῶτα	394	πλ. β′	θ′.	25
	15	«	λϐ′ ΙΕ′ Λουκᾶ (Ζακχαίου)	157	βαρὺς	ί.	56
	22	«	λγ′ ΙΣΤ′ « (Τελών. καὶ Φαρισ.)	160	πλ. δ′	ιά.	60
	29	«	λϐ′ ΙΖ′ « Τοῦ Ἀσώτου	162	ά.	ά.	23
Φεβρουάρ	5	«	Τῆς Ἀπόκρεω	166	β′.	β′.	69
	12	«	Τῆς Τυροφάγου	170	γ′.	γ′.	51
	19	«	Πρώτη Τῶν Νηστειῶν	177	δ′.	δ′.	28
	26	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. ά.	έ	13
Μάρτιος	5	«	Τρίτη τῶν Νηστειῶν	183	πλ. β′	ς′.	53
	12	«	Τετάρτη τῶν Νηστειῶν	186	βαρὺς	ζ′.	40
	19	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. δ′	ή.	46
	25	Σαϐ.	(Λαζάρου καὶ Εὐαγγελισμοῦ)	191			
	26	Κυρ	Τῶν Βαΐων	194			
Ἀπρίλιος	2	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	9	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	16	«	Τρίτη τῶν Μυροφορων	29	δ′.	δ′.	28
	23	«	Δ′ τοῦ Παραλύτου (ἁγ. Γεωργ.)	33	γ′.	έ.	13
	30	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ′	ζ′.	40
Μάιος	7	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	11	Πέμ.	Τῆς Ἀναλήψεως	51			
	14	Κυρ	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β′	ί.	56
	21	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	22	Δευτ.	Τοῦ ἁγίου Πνεύματος	63			
	28	Κυρ	Πρώτη Ματθ. Τῶν ἁγ. Πάντων	66	πλ. δ′	ά.	23
Ἰούνιος	4	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	11	«	Τρίτη Ματθαίου	72	β′	γ′.	51
	18	«	Τετάρτη Ματθαίου	76	γ′.	δ′.	28
	25	«	Πέμπτη Ματθαίου	78	δ′.	έ.	13
	29	Πεμ.	Τῶν ἁγ. Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1906.

Τὸ ἅγιον Πάσχα 2 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	2	Κυρ.	Ἕκτη Ματθαίου	81	πλ. ά.	ς'.	53
	9	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'.	40
	16	«	Τῶν ἁγίων Πατέρων	439	βαρὺς	ή.	46
	23	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
	30	«	Δεκάτη Ματθαίου	92	ά.	ί.	56
Αὔγουστος	6	«	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	13	«	Δωδεκάτη Ματθαίου	98	γ'.	ά.	23
	15	Τρίτ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	20	Κυρ.	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	27	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ά.	γ'.	51
Σεπτέμβριος	3	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β'	δ'.	28
	10	«	Πρὸ τῆς ὑψώσεως	336	βαρὺς	έ.	13
	14	Πέμ.	Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	17	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	πλ. δ'	ς'.	53
	24	«	ιή. ἀδ. ὁ σπείρων 117 Α' Λουκᾶ	117	ά.	ζ'.	40
Ὀκτώβριος	1	«	ιθ'. ἀδ. ὁ Θεός 120. Β' Λουκᾶ	121	β'.	ή.	46
	8	«	κ'. ἀδ. γνωρίζω 122 Γ' Λουκᾶ	123	γ'.	θ'.	25
	15	«	Τέκνον Τίτε 346 Δ' Λουκᾶ	126	δ'.	ί.	56
	22	«	κδ'. ἀδ. εἴδετε 129. ΣΤ' Λουκᾶ	132	πλ. ά.	ιά.	69
	29	«	κγ'. ἀδ. ὁ Θεός 132. Ζ' Λουκᾶ	136	πλ. β'	ά.	23
Νοέμβριος	5	«	κδ'. ἀδ. Χριστὸς 35. Ε' Λουκᾶ	129	βαρὺς	β'.	09
	12	«	κέ. ἀδ. παρακαλῶ 138. Η' Λουκᾶ	139	πλ. δ'	γ'.	51
	19	«	ἀδελφ. ὡς τέκνα 63. Θ' Λουκᾶ	141	ά.	δ'.	28
	21	Τρίτ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	26	Κυρ.	κζ'. ἀδ. ἐνδυναμ. 143. ΙΓ' Λουκᾶ	152	β'.	έ.	13
Δεκέμβριος	3	«	κή. ἀδ. εὐχαριστ. 146. ΙΔ' Λουκᾶ	155	γ'.	ς'.	53
	10	«	λ'. ἀδ. ἐνδύσασ. 152. Γ' Λουκᾶ	144	δ'.	ζ'.	40
	17	«	κθ'. ἀδ. ὅταν 149 ΙΑ' Λουκᾶ	147	πλ. ά.	ή.	46
	24	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. β'	θ'.	25
	25	Δευτ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	31	Κυρ.	Πρὸ τῶν Φώτων	384	βαρὺς	ί.	56

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1907.

Πάσχα 22 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 63.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Δευτ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	7	Κυρ.	Μετὰ τὰ Φῶτα	394	πλ. δ'	ιά.	60
	14	«	κθ' 149 ΙΒ' Λουκᾶ (δέκα λεπρ.)	150	ά.	ά.	23
	21	«	λά'. 154 ΙΔ' «	155	β'.	β'.	69
	28	«	λδ' 157 ΙΕ' « (Ζακχαίου)	157	γ'.	γ'.	51
Φεβρουάρ.	4	«	ιζ'. 114 ΙΖ' Ματθ. (Χαναναίας)	115	δ'.	δ'.	28
	11	«	λγ' ΙΣΤ' Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	πλ. ά.	έ.	13
	18	«	λδ'. ΙΖ' « (Τοῦ Ἀσώτου)	162	πλ. β'	ς'.	53
	25	«	Τῆς Ἀπόκρεω	166	βαρὺς	ζ'.	40
Μάρτιος	4	«	Τῆς Τυροφάγου	170	πλ. δ'	ή.	46
	11	«	Πρώτη τῶν Νηστειῶν	177	ά.	θ'.	25
	18	«	Δευτέρα τῶν Νηστειῶν	180	β'	ί.	56
	25	«	Τρίτη τῶν Νηστ. (Εὐαγγελισμοῦ)	183	γ'.		
Ἀπρίλιος	1	«	Τετάρτη τῶν Νηστειῶν	186	δ'.	ά.	23
	8	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. ά.	β'.	67
	14	Σαβ	Τοῦ Λαζάρου	191			
	15	Κυρ	Τῶν Βαΐων	194			
	22	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	29	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
Μάϊος	6	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	13	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	20	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ'.	ζ'.	40
	27	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	
	31	Πέμ.	Τῆς Ἀναλήψεως	51			
Ἰούνιος	3	Κυρ.	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β'	ί.	56
	10	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	11	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
	17	Κυρ	Πρώτη Ματθ. τῶν ἁγ. Πάντων.	67	πλ. δ'	ά.	23
	24	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
	29	Παρ.	Τῶν ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1907.

Πάσχα 22 Μαρτίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	1	Κυρ.	Τρίτη Ματθαίου	72	β΄.	γ΄.	51
	8	«	Τετάρτη Ματθαίου	76	γ΄.	δ΄.	28
	15	«	Τῶν ἁγίων Πατέρων	439	δ΄.	ἐ.	13
	22	«	Ἕκτη Ματθαίου	81	πλ. ἀ.	ς΄.	53
	29	«	Ἑβδόμη Ματθαίου	83	πλ. β΄	ζ΄.	40
Αὔγουστος	5	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ἡ.	46
	12	«	Ἐννάτη Ματθαίου	89	πλ. δ΄	θ΄.	25
	15	Τετ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	19	Κυρ.	Δεκάτη Ματθαίου	92	ἀ	ί.	56
	26	«	Ἑνδεκάτη Ματθαίου	95	β΄.	ιά.	60
Σεπτέμβρ.	2	«	Δωδεκάτη Ματθαίου	99	γ΄.	ἀ.	23
	9	«	Πρὸ τῆς Ὑψώσεως	336	δ΄.	β΄.	69
	14	Παρ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	16	Κυρ.	Μετὰ τὴν Ὕψωσιν	339	πλ. ἀ.	γ΄.	51
	23	«	ιέ. ἀδ. ὁ Θεός 108. Α΄ Λουκᾶ	117	πλ. β΄	δ΄	28
	30	«	ις΄. ἀδ. συνεργ. 110. Β΄ «	121	βαρὺς	έ.	13
Ὀκτώβριος	7	«	ιζ΄. ἀδ. ὑμεῖς 114. Γ΄ Λουκᾶ	123	πλ. δ΄	ς΄.	53
	14	«	Τέκνον Τίτε 346. Δ΄ «	126	ἀ.	ζ΄.	40
	21	«	ιθ΄. ἀδ. ὁ Θεός 120 ΣΤ΄ «	132	β΄.	ἡ.	46
	28	«	κ΄ ἀδ. γνωρίζω 122. Ζ΄ Λουκᾶ	136	γ΄.	θ΄.	25
Νοέμβριος	4	«	κά ἀδ εἰδότες 125. Ε΄ Λουκᾶ	129	δ΄.	ί	56
	11	«	κθ΄. ἀδ εἴδετε 129. Η΄ «	139	πλ. ἀ.	ιά.	60
	18	«	κγ΄ ἀδ. ὁ Θεός 132. Θ΄ «	141	πλ. β΄	ἀ.	23
	21	Τετ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	25	Κυρ.	κδ΄ ἀδ. Χριστὸς 135. ΙΓ΄ «	152	βαρὺς	β΄	69
Δεκέμβριος	2	«	κέ ἀδ. παρακ. 138* ΙΣΤ΄ Ματθ.	111	πλ. δ΄	γ΄.	51
	9	«	Ἀδελ. ὡς τέκνα 63. Ι΄ Λουκᾶ	144	ἀ	δ΄.	28
	16	«	κθ΄ ἀδ. ὅταν 149. ΙΑ΄ «	147	β΄.	ἐ.	13
	23	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	γ΄.	ς΄	53
	25	Τρίτ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	30	Κυρ.	Πρὸ τῶν Φώτων	384	ε΄.	ζ΄.	40

* Ἐπειδὴ τὸ ΙΔ΄ Λουκᾶ προανεγνώσθη, προσετέθη τὸ ΙΣΤ΄ Ματθ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1908. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 13 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 55.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Τρίτ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	6	Κυρ.	Τὰ ἅγια Θεοφάνεια	391			
	13	«	Μετὰ τὰ Φῶτα	394	πλ. β′	θ′.	23
	20	«	κθ′ 149. ΙΒ′ Λουκᾶ (δέκα λεπρ.)	150	βαρὺς	ί.	56
	27	«	λδ′ 157 ΙΕ′ Λουκᾶ (Ζακχαίου)	157	πλ. δ′	ιά.	60
Φεβρουάρ.	3	«	λγ′ ΙΣΤ′. Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	ά.	ά.	28
	10	«	λδ′ ΙΖ′. Λουκᾶ (τοῦ Ἀσώτου)	162	β′.	β′.	69
	17	«	Τῆς Ἀπόκρεω	166	γ′.	γ′.	51
	24	«	Τῆς Τυροφάγου	170	δ′.	δ′.	28
Μάρτιος	2	«	Πρώτη τῶν Νηστειῶν	177	πλ. ά.	έ.	13
	9	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. β′	ς′.	53
	16	«	Τρίτη τῶν Νηστειῶν	183	βαρὺς	ζ′.	40
	23	«	Τετάρτη τῶν Νηστειῶν	186	πλ. δ′	ή	46
	25	Τρίτ.	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	30	Κυρ.	Πέμπτη τῶν Νηστειῶν	189	ά.	θ′.	25
Ἀπρίλιος	5	Σαβ	Τοῦ Λαζάρου	191			
	6	Κυρ	Τῶν Βαΐων	194			
	13	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	20	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	27	«	Τρίτη τῶν Μυροφόρων	29	β′.	δ′.	28
Μάϊος	4	«	Τετάρτη τοῦ Παραλύτου	33	γ′.	έ.	13
	11	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	18	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή	46
	22	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	25	Κυρ	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β′	ί.	56
Ἰούνιος	1	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	2	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
	8	Κυρ	Πρώτη Ματθ Ἁγίων Πάντων	66	πλ. δ′	ά.	23
	15	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	22	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	29	«	Τετάρτη Ματθαίου	76	γ′.	δ′.	28

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1908. ΒΙΣΕΚΤΟΝ.

Πάσχα 13 Ἀπριλίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	Σελ	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	6	Κυρ.	Πέμπτη Ματθαίου	78	δ'.	ἑ.	13
	13	«	Τῶν ἁγίων Πατέρων	439	πλ. ἀ.	ς'	53
	20	«	Ἑβδόμη Ματθαίου	83	πλ. β'	ζ'	40
	27	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ἡ.	46
Αὔγουστος	3	«	Ἐννάτη Ματθαίου	89	πλ. δ'	θ'.	25
	6	Τετ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	10	Κυρ.	Δεκάτη Ματθαίου	92	ἀ.	ι.	56
	15	Παρ	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	17	Κυρ.	Ἑνδεκάτη Ματθαίου	95	β'.	ια.	60
	24	«	Δωδεκάτη Ματθαίου	98	γ'.	ἀ.	23
	31	«	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
Σεπτέμβ.	7	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. ἀ.	γ'.	51
	14	«	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	21	«	Μετὰ τὴν ὕψωσιν	339	βαρὺς	ἑ.	13
	28	«	ιζ'. ἀδ. ὑμεῖς 114 Α' Λουκᾶ	117	πλ. δ'	ς'	53
Ὀκτώβριος	5	«	ιἡ ἀδ. ὁ σπείρων 117. Β' Λουκᾶ	121	ἀ.	ζ'.	40
	12	«	Τέκνον Τίτε 346. Δ' «	126	β'.	ἡ.	46
	19	«	κ' ἀδ. γνωρίζω 122. Γ' «	123	γ'.	θ'.	25
	26	«	κά ἀδ εἰδότες 125. ΣΤ' «	132	δ'.	ι.	56
Νοέμβριος	2	«	κβ' ἀδ. εἰδετε 129. Ε' Λουκᾶ	129	πλ. ἀ.	ια.	60
	9	«	κγ' ἀδ ὁ Θεὸς 132. Ζ' «	136	πλ. β'	ἀ.	23
	16	«	κδ' ἀδ. Χριστος 135. Η' «	139	βαρὺς	β'.	69
	21	Παρ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	23	Κυρ.	κέ. ἀδ παρακ. 138. Θ' Λουκᾶ	141	πλ. δ'	γ'.	51
	30	«	ἀδ. ὡς τέκνα 63 ΙΓ' «	152	ἀ.	δ'.	28
Δεκέμβριος	7	«	κζ'. ἀδ. ἐνδυν. 143. Ι' Λουκᾶ	144	β'.	ἑ	13
	14	«	κθ'. ἀδ ὅταν 149. ΙΑ' «	147	γ'.	ς'	53
	21	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	δ'	ζ'	40
	25	Παρ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	28	Κυρ.	Μετὰ τὴν Χριστοῦ Γέννησιν	382	πλ. ἀ.	ἡ.	46

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1909.

Πάσχα 29 Μαρτίου. Κρεωφαγία ἡμέραι 39

ἡμερομ.			Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Πέμ.	Ἡ περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	4	Κυρ	Πρὸ τῶν Φώτων.	384	πλ. β'	θ'.	25
	11	«	Μετὰ τὰ Φῶτα	394	βαρὺς	ι.	56
	18	«	λγ' ΙΣΤ' Λουκᾶ (Τελών. Φαρ.)	160	πλ. δ'.	ιά.	60
	25	«	λδ' ΙΖ' Λουκᾶ (Τοῦ Ἀσώτ.)	162	ά.	ά.	23
Φεβρουάρ	1	«	Τῆς Ἀπόκρεω	166	β'.	β'.	69
	8	«	Τῆς Τυροφάγου	170	γ'.	γ'.	51
	15	«	Πρώτη τῶν Νηστειῶν	177	δ'.	δ'.	28
	22	«	Δευτέρα τῶν Νηστειῶν	180	πλ. ά.	έ.	13
Μάρτιος	1	«	Τρίτη τῶν Νηστειῶν	183	πλ. β'	ς'.	53
	8	«	Τετάρτη τῶν Νηστειῶν	186	βαρὺς	ζ'.	40
	15	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. δ'	ή.	46
	21	Σαβ.	(Τοῦ Λαζάρου)	191			
	22	Κυρ.	Τῶν Βαΐων	194			
	25	Τετ.	(Τοῦ Εὐαγγελισμοῦ)	413			
	29	Κυρ.	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
Ἀπρίλιος	5	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
	12	«	Τρίτη τῶν Μυροφόρων	29	β'.	δ'.	28
	19	«	Τετάρτη τοῦ Παραλύτου	33	γ'.	έ.	13
	26	«	Πέμπτη τῆς Σαμαρειτιδος	41	δ'	ζ'.	40
Μάϊος	3	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	7	Πέμ.	(Τῆς Ἀνοδήψεως)	51			
	10	Κυρ.	Ἑβδόμη τῶν ἁγίων Πατέρων	57	πλ. β'	ι.	56
	17	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	18	Δευτ	Τοῦ Ἁγίου Πνεύματος	63			
	24	Κυρ.	Πρώτη Ματθαίου τῶν ἁγ. Πάντων	66	πλ. δ'	ά.	23
	31	«	Δευτέρα Ματθαίου	70	ά.	β'.	69
Ἰούνιος	7	«	Τρίτη Ματθαίου	72	β'.	γ'.	51
	14	«	Τετάρτη Ματθαίου	76	γ'.	δ'.	28
	21	«	Πέμπτη Ματθαίου	78	δ'.	έ.	13
	28	«	Ἕκτη Ματθαίου	81	πλ ά.	ς'.	53
	29	Δευτ.	Τῶν Ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1909.

Τὸ ἅγιον Πάσχα 29 Μαρτίου.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	5	Κυρ.	Ἐβδομὴ Ματθαίου	83	πλ. β'	ζ'.	40
	12	«	Ὀγδόη Ματθαίου	89	βαρὺς	ἡ.	46
	19	«	Τῶν ἁγίων Πατέρων	139	πλ. δ'	θ'.	25
	26	«	Δεκάτη Ματθαίου	92	ἀ.	ι.	56
Αὔγουστος	2	«	Ἑνδεκάτη Ματθαίου	95	β'	ια.	60
	6	Πέμ.	Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ	144			
	9	Κυρ	Δωδεκάτη Ματθαίου	98	γ'.	ἀ.	23
	15	Σαβ.	Ἡ Κοίμησις τῆς Θεοτόκου	448			
	16	Κυρ.	Δεκάτη τρίτη Ματθαίου	101	δ'.	β'.	69
	23	«	Δεκάτη τετάρτη Ματθαίου	104	πλ. ἀ.	γ'.	51
	30	«	Δεκάτη πέμπτη Ματθαίου	108	πλ. β'	δ'.	28
Σεπτέμβριος	6	«	Δεκάτη ἕκτη Ματθαίου	110	βαρὺς	ε.	13
	13	«	Πρὸ τῆς ὑψώσεως	336	πλ. δ'	ς'.	53
	14	Δευτ.	Ἡ ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	20	Κυρ.	Μετὰ τὴν ὕψωσιν	339	ἀ.	ζ'.	40
	27	«	ιθ'. ἀδ. ὁ Θεός 120. Α' Λουκᾶ	117	β'.	ἡ.	46
Ὀκτώβριος	4	«	κ'. ἀδ. γνωρίζω 122. Β' Λουκᾶ	121	γ'.	θ'.	25
	11	«	Τέκνον Τίτε 346 Δ' Λουκᾶ	126	δ'.	ι.	56
	18	«	κα. ἀδ. εἰδότες 123. Γ' Λουκᾶ	123	πλ. ἀ.	ια.	60
	25	«	κγ'. ἀδ. ὁ Θεός 132. ΣΤ' Λουκᾶ	132	πλ. β'	ἀ.	23
Νοέμβριος	1	«	κδ'. ἀδ. Χριστὸς 135. Ε' Λουκᾶ	129	βαρὺς	β'.	69
	8	«	κέ. ἀδ. παρακαλῶ 138. Ζ' Λουκᾶ	139	πλ. δ'	γ'.	51
	15	«	ἀδελφ. ὡς τέκνα 63. Η' Λουκᾶ	141	ἀ.	δ'.	28
	21	Σαβ.	Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	22	Κυρ	κζ'. ἀδ. ἐνδυναμ. 143. Θ' Λουκᾶ	141	β'.	ἑ.	13
	29	«	κή. ἀδ. εὐχαριστ. 146. Ι' Λουκᾶ	152	γ'.	ς'.	53
Δεκέμβριος	6	«	λ'. ἀδ. ἐνδύσασ. 152. Ι' Λουκᾶ	144	δ'.	ζ'.	40
	13	«	λθ'. ἀδ. ὅταν 149 ΙΑ' Λουκᾶ	147	πλ. ἀ.	ἡ.	46
	20	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	πλ. β'	θ'.	25
	25	Παρ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	27	Κυρ.	Μετὰ τὴν Χριστοῦ Γέννησιν	384	βαρὺς	ι.	56

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΔΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1910.

Πάσχα 18 Ἀπριλίου. Κρεωφαγία ἡμέραι 59.

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰανουάριος	1	Παρ.	Ἡ Περιτομὴ καὶ ἁγ. Βασιλείου	385			
	3	Κυρ.	Πρὸ τῶν Φώτων	391	πλ. δ′	ιά.	60
	10	«	Μετὰ τὰ Φῶτα	394	ά.	ά.	23
	17	«	κθ′ 149. ΙΒ′ Λουκᾶ (δέκα λεπρ.)	150	β′.	β′.	69
	24	«	λδ′ 157 ΙΕ′ Λουκᾶ (Ζακχαίου)	157	γ′.	γ′.	51
	31	«	ΙΖ′ Ματθαίου (Χαναναίας)	114	δ′.	δ′.	28
Φεβρουάρ.	7	«	λγ′ ΙΣΤ′. Λουκᾶ (Τελ. καὶ Φαρ.)	160	πλ. ά.	έ.	13
	14	«	λδ′ ΙΖ′. Λουκᾶ (τοῦ Ἀσώτου)	162	πλ. β′	ς′.	53
	21	«	Τῆς Ἀπόκρεω	166	βαρὺς	ζ′.	40
	28	«	Τῆς Τυροφάγου	170	πλ. δ′	ή	46
Μάρτιος	7	«	Πρώτη τῶν Νηστειῶν	177	ά.	θ′.	25
	14	«	Δευτέρα τῶν Νηστειῶν	180	β′	ί.	56
	21	«	Τρίτη τῶν Νηστειῶν	183	γ′	ιά.	60
	25	Πέμ.	(Τοῦ Εὐαγγελισμοῦ)	186			
	28	Κυρ.	Τετάρτη τῶν Νηστειῶν	413	δ′	ά.	23
Ἀπρίλιος	4	«	Πέμπτη τῶν Νηστειῶν	189	πλ. ά.	β′.	69
	10	Σαβ.	Τοῦ Λαζάρου	191			
	11	Κυρ	Τῶν Βαΐων	194			
	18	«	ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ	7			
	25	«	Δευτέρα τοῦ Θωμᾶ	24		ά.	23
Μάϊος	2	«	Τρίτη τῶν Μυροφόρων	29	β′.	δ′.	28
	9	«	Τετάρτη τοῦ Παραλύτου	33	γ′.	έ.	13
	16	«	Πέμπτη τῆς Σαμαρείτιδος	41	δ′.	ζ′.	40
	23	«	Ἕκτη τοῦ Τυφλοῦ	47	πλ. ά.	ή.	46
	27	Πέμ.	(Τῆς Ἀναλήψεως)	51			
	30	Κυρ.	Ἑβδόμη τῶν ἁγ. Πατέρων	57	πλ. β′	ί.	56
Ἰούνιος	6	«	Ὀγδόη τῆς Πεντηκοστῆς	61			
	7	Δευτ	Τοῦ ἁγίου Πνεύματος	63			
	13	Κυρ	Πρώτη Ματθ Ἁγίων Πάντων	66	πλ. δ′	ά.	23
	20	«	Δευτέρα Ματθαίου	70	ά.	β′.	69
	27	«	Τρίτη Ματθαίου	72	β′.	γ′.	51
	29	Τρίτ	Τῶν. ἁγίων Ἀποστόλων	434			

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΑΣΧΑΛΙΟΝ ΤΟΥ ΕΤΟΥΣ 1910.

Πάσχα 18 Ἀπριλίου

	ἡμερομ.		Ἀπόστολοι καὶ Εὐαγγέλια	σελ.	ἦχος	ἑωθ.	σελ.
Ἰούλιος	4	Κυρ.	Τετάρτη Ματθαίου	76	γ΄.	δ΄.	28
	11	«	Πέμπτη Ματθαίου	78	δ΄.	ἑ.	13
	18	«	Τῶν ἁγίων Πατέρων	439	πλ. ἁ.	ς΄.	53
	25	«	Ἑβδόμη Ματθαίου	83	πλ. β΄	ζ΄.	40
Αὔγουστος	1	«	Ὀγδόη Ματθαίου	86	βαρὺς	ἡ.	46
	6	Σαβ.	Ἡ μεταμόρφωσις τοῦ Χριστοῦ	444			
	8	Κυρ.	Ἐννάτη Ματθαίου	89	πλ. δ΄	θ΄.	25
	15	«	Ἡ Κοίμησις τῆς Θεοτόκου	448	ἁ.	ί.	56
	22	Κυρ.	Ἑνδεκάτη Ματθαίου	95	β΄.	ια.	60
	29	«	Δωδεκάτη Ματθαίου	98	γ΄.	ἁ.	23
Σεπτέμβ.	5	«	Δεκάτη τρίτη Ματθαίου	101	δ΄.	β΄.	69
	12	«	Πρὸ τῆς Ὑψώσεως	336	πλ. ἁ.	γ΄.	51
	14	Τρίτ.	Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ	336			
	19	Κυρ	Μετὰ τὴν Ὕψωσιν	339	πλ. β΄	δ΄.	28
	26	«	ις΄. ἀδ συνεργ. *110.* Α΄ Λουκᾶ	117	βαρύς	ἑ.	13
Ὀκτώβριος	3	«	ιζ΄ ἀδ ὑμεῖς 114. Β΄ Λουκᾶ	121	πλ. δ΄	ς΄.	53
	10	«	ιή ἀδ. ὁ σπείρων *117.* Γ΄ «	123	ἁ.	ζ΄.	40
	17	«	Τέκνον Τίτε 346. Δ΄ «	*126*	β΄.	ἡ.	46
	24	«	κ΄. ἀδ. γνωρίζω *122.* ΣΤ΄ «	132	γ΄.	θ΄.	25
	31	«	κά. ἀδ. εἰδότες 125. Ε΄ Λουκᾶ	129	δ΄.	ί.	56
Νοέμβριος	7	«	κβ΄ ἀδ εἴδετε 129. Ζ΄ «	136	πλ. ἁ.	ιά	60
	14	«	κγ΄ ἀδ. ὁ Θεός 132. Η΄ «	139	πλ. β΄	ἁ.	23
	21	«	κδ΄ ἀδ. Χριστὸς 135. Θ΄ «	141	βαρὺς	β΄.	69
			Τὰ Εἰσόδια τῆς Θεοτόκου	361			
	28	«	κέ ἀδ. παρακαλῶ 138 ΙΓ΄ «	152	πλ. δ΄	γ΄	51
Δεκέμβριος	5	«	Ἀδ. ὡς τέκνα 63. Γ΄ Λουκᾶ	144	ἁ	δ΄	28
	12	«	κθ΄. ἀδελ. ὅταν 149. ΙΑ΄ «	147	β΄.	ἑ.	13
	19	«	Πρὸ τῆς Χριστοῦ Γεννήσεως	371	γ΄.	ς΄.	53
	25	Σαβ.	Ἡ Γέννησις τοῦ Ἰησοῦ Χριστοῦ	379			
	26	Κυρ	Μετὰ τὴν Χριστοῦ Γέννησιν	383	δ΄.	ζ΄.	40

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΜΕΡΟΣ ΠΡΩΤΟΝ

Τυπικὴ διάταξις τῆς Ἁγίας καὶ Μεγάλης Κυριακῆς τοῦ Πάσχα	Σελ	1
Ὄρθρου Εὐαγγέλιον τοῦ Πάσχα	»	6
Ἀπόστ. καὶ Εὐαγγ. λειτουργίας τοῦ Πάσχα	»	7
Εὐαγγέλιον ἑσπερινοῦ Οὔσης ὀψίας	»	10
Δευτέρα τῆς διακαινησίμου Ἀπόστ. καὶ Εὐαγγ.	»	10
Τρίτη	»	12
Τετάρτη	»	15
Πέμπτη	»	18
Παρασκευὴ	»	20
Σάββατον	»	21
Κυριακὴ τοῦ Θωμᾶ	»	24
Σάββατον τῆς Β ας ἑβδομάδος	»	26
Κυριακὴ Γ! τῶν Μυροφόρων	»	29
Σάββατον Γ-ης ἑβδομάδος	»	31
Κυριακὴ Δ! τοῦ Παραλύτου	»	33
Τετάρτη τῆς Μεσοπεντηκοστῆς	»	35
Σάββατον Δ ης ἑβδομάδος	»	38
Κυριακὴ Ε! τῆς Σαμαρείτιδος	»	40
Σάββατον Ε ης ἑβδομάδος	»	44
Κυριακὴ ΣΤ! τοῦ Τυφλοῦ	»	47
Πέμπτη τῆς Ἀναλήψεως	»	52
Σάββατον ΣΤ-ης ἑβδομάδος	»	54
Κυριακὴ Ζ! τῶν Ἁγίων Πατέρων	»	57
Σάββατον Ζ ης ἑβδομάδος τῶν Ψυχῶν	»	59
Κυριακὴ Η! τῆς Ἁγίας Πεντηκοστῆς	»	61
Δευτέρα τοῦ Ἁγίου Πνεύματος	»	63
Σάββατον Α-ης ἑβδομ. μετὰ τὴν Πεντηκοστὴν	»	65

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυριακὴ Α! τῶν Ἁγίων Πάντων Σελ 66
Σάββατον Β·ας ἑβδομάδος » 68
Κυριακὴ Β! » 70
Σάββατον Γ·ης ἑβδομάδος » 71
Κυριακὴ Γ! » 72
Σάββατον Δ·ης ἑβδομάδος » 74
Κυριακὴ Δ! » 76
Σάββατον Ε·ης ἑβδομάδος » 77
Κυριακὴ Ε! » 78
Σάββατον ΣΤ·ης ἑβδομάδος » 80
Κυριακὴ ΣΤ! » 81
Σάββατον Ζ·ης ἑβδομάδος » 82
Κυριακὴ Ζ! » 83
Σάββατον Η·ης ἑβδομάδος » 85
Κυριακὴ Η! » 86
Σάββατον Θ·ης ἑβδομάδος » 88
Κυριακὴ Θ! » 89
Σάββατον Ι·ης ἑβδομάδος » 91
Κυριακὴ Ι! » 92
Σάββατον ΙΑ·ης ἑβδομάδος » 93
Κυριακὴ ΙΑ! » 95
Σάββατον ΙΒ·ης ἑβδομάδος » 97
Κυριακὴ ΙΒ! » 98
Σάββατον ΙΓ·ης ἑβδομάδος » 100
Κυριακὴ ΙΓ! » 101
Σάββατον ΙΔ! ἑβδομάδος » 103
Κυριακὴ ΙΔ! » 104
Σάββατον ΙΕ·ης ἑβδομάδος » 106
Κυριακὴ ΙΕ! » 108
Σάββατον ΙΣΤ·ης ἑβδομάδος » 109
Κυριακὴ ΙΣΤ! » 110
Σάββατον ΙΖ·ης ἑβδομάδος » 112
Κυριακὴ ΙΖ! » 114

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Σάββατον ΙΗ-ης έβδομάδος Σελ. 115
Κυριακὴ ΙΗ! » 117
Σάββατον ΙΘ-ης έβδομάδος » 118
Κυριακὴ ΙΘ! » 120
Σάββατον Κ-ης έβδομάδος » 121
Κυριακὴ Κ! » 122
Σάββατον ΚΑ-ης έβδομάδος » 124
Κυριακὴ ΚΑ! » 125
Σάββατον ΚΒ-ας έβδομάδος » 127
Κυριακὴ ΚΒ! » 129
Σάββατον ΚΓ-ης έβδομάδος » 131
Κυριακὴ ΚΓ! » 132
Σάββατον ΚΔ-ης έβδομάδος » 134
Κυριακὴ ΚΔ! » 135
Σάββατον ΚΕ-ης έβδομάδος » 137
Κυριακὴ ΚΕ! » 138
Σάββατον ΚΣΤ-ης έβδομάδος » 140
Κυριακὴ ΚΣΤ! » 141
Σάββατον ΚΖ-ης έβδομάδος » 142
Κυριακὴ ΚΖ! » 143
Σάββατον ΚΗ-ης έβδομάδος » 144
Κυριακὴ ΚΗ! » 146
Σάββατον ΚΘ-ης έβδομάδος » 147
Κυριακὴ ΚΘ! » 149
Σάββατον Λ-ης έβδομάδος » 150
Κυριακὴ Λ! » 152
Σάββατον ΛΑ-ης έβδομάδος » 153
Κυριακὴ ΛΑ! » 154
Σάββατον ΛΒ-ας έβδομάδος » 155
Κυριακὴ ΛΒ! » 257
Σαββατον ΛΓ-ης έβδομάδος » 158
Κυριακὴ ΛΓ! τοῦ Τελώνου καὶ Φαρισαίου » 160
Σάββατον ΛΔ-ης έβδομάδος » 161

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυριακὴ ΛΔ! τοῦ Ἀσώτου Σελ. 162
Σάββατον ΛΕ-ης ἑβδομάδος » 165
Κυριακὴ τῆς Ἀπόκρεω » 166
Σάββατον τῆς Τυροφάγου » 168
Κυριακὴ » « » 170
Εὐαγγέλια ἀναγινωσκόμενα εἰς τὰς Πανυχίδας τῆς Α-ης ἑβδομάδος τῶν νηστειῶν » 171
Σάββατον Α! τῶν νηστειῶν » 175
Κυριακὴ Α! » » » 177
Σάββατον Β! » » » 179
Κυριακὴ Β! » » » 180
Σάββατον Γ! » » » 182
Κυριακὴ Γ! » » τῆς σταυροπροσκυν. » 183
Σάββατον Δ! » » » 185
Κυριακὴ Δ! » » » 186
Σάββατον Ε! » » » 188
Κυριακὴ Ε! » » » 189
Σάββατον τοῦ Λαζάρου » 191
Κυριακὴ τῶν Βαΐων » 194

ΜΕΡΟΣ ΔΕΥΤΕΡΟΝ

Ἡ Ἁγία καὶ Μεγάλη Ἑβδομάς.

Τῇ Ἁγίᾳ καὶ Μεγ. Δευτέρᾳ εἰς τὸν ὄρθρον Σελ. 201
» » » » » εἰς τὸν ἑσπερινὸν » 208
» » » » Τρίτῃ εἰς τὸν ὄρθρον » 211
» » » » » εἰς τὸν ἑσπερινὸν » 219
» » » » Τετάρτῃ εἰς τὸν ὄρθρον » 223
» » » » » εἰς τὸν ἑσπερινὸν » 230
» » » » Πέμπτῃ εἰς τὸν ὄρθρον » 231
» » » » » εἰς τὸν ἑσπερινὸν » 241
» » » » » ἀκολουθία τῶν Ἁγίων καὶ ἀχράντων παθῶν » 247

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῇ Ἁγ. καὶ Μεγ. Παρασκ. ἀκολουθ. τῶν ὡρῶν Σελ. 281
» » » » » εἰς τὸν ἑσπερινόν » 292
τῷ Ἁγ. καὶ Μεγ. Σαββάτῳ εἰς τὸν ὄρθρον » 299
Αἱ τρεῖς στάσεις (ἡ ζωὴ ἐν τάφῳ κλπ.) » 305
τῷ Ἁγ. καὶ Μεγ. Σαββάτῳ εἰς τὸν ἑσπερινὸν καὶ λειτουργίαν » 318
τῇ Ἁγ. καὶ Μεγ. Κυριακῇ τοῦ Πάσχα » 321
Εὐχὴ Ἰωάννου τοῦ Χρυσοστόμου » 327

ΜΕΡΟΣ ΤΡΙΤΟΝ

ΜΗΝΟΛΟΓΙΟΝ

Περιέχον Ἀποστόλους ὄρθρου καὶ λειτουργίας, Εὐαγγελια Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, τοῦ ὅλου ἐνιαυτοῦ μετὰ τῶν τυπικῶν διατάξεων αὐτῶν.

Μὴν Σεπτέμβριος Σελ. 329
» Ὀκτώβριος » 345
» Νοέμβριος » 353
» Δεκέμβριος » 365
» Ἰανουάριος » 385
» Φεβρουάριος » 400
» Μάρτιος » 409
» Ἀπρίλιος » 416
» Μάϊος » 421
» Ἰούνιος » 428
» Ἰούλιος » 437
» Αὔγουστος » 443
Εὐαγγέλια εἰς διαφόρους μνήμας Ἁγίων » 353
Ἀπόστολοι καὶ Εὐαγγέλια εἰς διαφ. τελετὰς » 456
Πασχάλια τῶν ἐτῶν 1895 ἕως 1910 » 460

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ

† Ἡ Αὐτοῦ Σεβασμιότης ὁ Μητροπολίτης Βάρνης κ. κ. Πολύκαρπος. Σωμ. 5

† Ὁ Θεοφιλέστατος ἐπίσκοπος Πολυανῆς κ. κ. Ἰωακείμ » 5

† Ὁ οἰκονόμος Ἰωάννης Λιάπης » 2

† Ὁ ἀρχιμανδρίτης Ἰωάσαφ Βακαλόπουλος » 1

† Ὁ ἱερεὺς Εὐστάθιος Νικολάου » »

† Ὁ ἱερεὺς Παναγιώτης Μιχαὴλ » »

† Ὁ ἱερομόναχος Ἰωακείμ » »

† Ὁ ἱερεὺς Γρηγόριος Ὀνουφριάδης » »

† Ὁ ἱερεὺς Ἀργύριος Ἀντωνιάδης » »

† Ὁ ἱερεὺς Δημήτριος Παστίας » »

† Ὁ ἱερεὺς Ἀθανάσιος Παπαδόπουλος » »

† Ὁ Ἱεροδιάκονος Παΐσιος » »

† Ὁ Ἱεροδιάκονος Ἀλέξανδρος » »

† Ὁ ἐν Καβάρνῃ ἱερεὺς Δῆμος

† Ὁ ἐν Βαλτσικίῳ ἱερεὺς Ἰωάννης Βαφειάδης

† Ὁ ἐν Σούμλᾳ ἱερεὺς Ἀθανάσιος Κουμπούρης

† Ὁ ἐν Σουουτσουκίῳ οἰκονόμος Παῦλος.

ΟΙ ΕΝ ΒΑΡΝΗ ΙΕΡΟΨΑΛΤΑΙ

Ἐλευθέριος Παστίας Σωμ. 2

Βασίλειος Γουναρόπουλος

Παῦλος Μυστακιάδης Σωμ. 2

Νικόλαος Ηλιάδης

Τηλέμαχος Σιλελίδης

Ἰωάννης Δρίτσας, δομέστιχος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΟΙ ΕΝ Β

Ἀθανάσιος Ι. Μυστα
Ἀνδρέας Χ Ἀνδρεό
Ἀρχιμίδης Στεφανίδ
Ἀθανάσιος Χ Ἀντ
Ἀναστάσιος Ἀγγελίδ
Ἀντώνιος Ι. Ναλπάν
Ἀθανάσιος Ν Ἀρχ
Ἀριστείδης Ματσίντ
Ἀθανάσιος Δράκος
Ἀλέξανδρος Νικολαΐ
Α Ι. Γραμματίδης
Ἀναστάσιος Ἀναστα
Ἀντώνιος Ι. Τερζίογ
Ἀριστόδημος Χ. Πέ
Ἀθανάσιος Ι. Καβαγ
Ἀνδρέας Γραβαρίας
Ἀπόστολος Π. Καραμ
Ἀνδρέας Πογγατζόγλ
Ἀλέξανδρος Κ. Χ
Ἀθανάσιος Λεωνιάδη
Ἀντώνιος Στάϊκου Π
Ἀναστάσιος Ἀθανασ
Ἀλέξανδρος Κωνστα
Ἀντώνιος Ἀλπέρτης
Ἀναστάσιος Χ Ἐλε
Ἀναστάσιος Εὐαγγέλ
Ἀθανάσιος Βέλιου
Ἀλέξανδρος Πέτρου.
Ἀριστείδης Κωνσταν
Ἀλέξανδρος Παρουσι
Ἀθανάσιος Κ. Κηροπ
Ἀλέξανδρος Θ. Γραμ
Ἀριστοτέλης Γρ. Καλ
Ἄνθιμος Χ. Πέτρου
Ἀνδρέας Π. Χονδρός
Ἀλέξανδρος Καζάκο
Ἀντώνιος Κουρεύς
Ἀντώνιος Ἀθανασίου

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

'Ανδρέας Νικολάου
'Αναστάσιος Γ. Παμπούκογλους
Βασίλειος Ι. Φλώρης
Βασίλειος Νικολάου
Βασίλειος Ν. Δημητριάδης (Δημοδιδάσκαλος)
Βασίλειος Χ''. Φωτινόπουλος
Βασίλειος Ξανθόπουλος
Βασίλειος Ι. Παπαδόπουλος
Βασίλειος Π. Γουναρόπουλος
Βελισσάριος Ν. Βελισσαρίου
Βάλσαμος Γ. Βαλσάμου
Βελισσάριος Π Βελισσαρόπουλος
Βασίλειος 'Αναστασιάδου
Βασίλειος Ν. Γουναρόπουλος (Παντοπώλης)
Βασίλειος Βελισσαρίου
Βασίλειος 'Αλ. Κουρεύς
Βασίλειος 'Απατζής
Βασίλειος Δημητρίου
Γεώργιος Γιανόπουλος (Ιατρός)
Γρηγόριος Καραμβατάκης
Γρηγόριος 'Αρσενικός
Γεώργιος Βαλσάμου
Γεώργιος Ι. Χηλητόπουλος
Γεώργιος Χ''. Χάρτσου
Γεώργιος Δημητρίου (Καρά ούσεϊν)
Γεώργιος Ι. Θεοδωρίδης (Κασπετσιάν)
Γεώργιος 'Αμ. Ραντόπουλος
Γεώργιος Κ. Μώρος
Γεώργιος Ζησιάδης
Γεώργιος Δ. Ραφτόπουλος
Γρηγόριος 'Αθ. Γιοτόπουλος
Γ. Π. Καραμάνος
Γεώργιος Μαυρογιάννης
Γαβριὴλ Κηροποιὸς
Γεώργιος Μιχάλωφ
Γεώργιος Γρηγορίου (Σιρανταεκκλησιώτης)
Γεώργιος Β. Κασάπωφ
Γεώργιος Ν. Παπαδόπουλος
Γεώργιος Σιδερῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γιανάκος Κυριακοῦ
Γεώργιος Π. Τσπάκωφ
Γεώργιος Πέτρου
Γεώργιος Ἠλ. Γεωργιάδης
Γεώργιος Ἀνταλῆς
Γεώργιος Στεφάνου
Γεώργιος Μπαρότσης
Γιανάκος Μάρκου
Γεώργιος Α. Παπαμιχάλη
Γεώργιος Δ. Τάσωφ.
Γεώργιος Δ, Πάντσου
Γεώργιος Πέτρου
Γεώργιος Χαδίμογλους
Γεράσιμος Ζανέτος
Γεώργιος Ι. Σίσκωφ.
Γεώργιος Σαλβαρόπουλος
Γ. Χ''. Γιαννήσσης
Γεώργιος Ν. Καβουντζόγλους (Καρὰ οὐσεὶν)
Γεώργιος Κωνσταντίνου
Γεώργιος Δελιγιανίδης (Πάνορμος)
Γεώργιος Χαραλάμπου
Γεώργιος Στέργιου
Γεώργιος Β. Βαλτατζῆς
Γεώργιος Κυριακίδης
Γεώργιος Μπατῆς
Γρηγόριος Ἀντωνίου
Γεώργιος Κρητικὸς
Δημήτριος Τράκογλους
Δημήτριος Τσαλίκης
Δημήτριος Γ. Σούκιουρ (Σωμ. 2)
Δέσποινα Κ. Φιλυρίδου
Δημήτριος Γ. Ἀσπριώτου Σωμ. 5
Δημήτριος Χ''. Δανιὴλ
Δημοσθένης Καριάνδης
Δημήτριος Κ. Ἀρναούτογλους
Δημήτριος Χ''. Θεοδώρου
Δημήτριος Τ. Καλλεντζόγλους
Δούκας Τοπάλογλους
Δανιὴλ Μάνου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημήτριος Κατινάκης
Δούκας Δ. 'Ασπριώτου
Δημήτριος Τσπάκωφ
Δανιὴλ Μ Σαράντογλους
Δημήτριος Νικολάου 'Αμαξόπουλος
Δημήτριος Παπᾶ Χρήστου
Δημήτριος 'Αρχοντίδης
Δημήτριος Γ. Ξενόπουλος
Δημήτριος Γ. Δελλόπουλος (Βασιλικιώτης)
Διαμαντὴς Ν. Τσετόπουλος
Δημήτριος Δημητρίου
Δημήτριος Νίκου (Κόζουλτζα)
Δανιὴλ Θεοδώρου Ψιλοτόδωρος
Δημήτριος Μπαλαπάνης
Δημήτριος Θεοδώρου
Δράκος Α. Δράκου
Δημήτριος Κωνσταντίνου
Δημήτριος Ι. Σαράτσης
Δημήτριος Βασιλείου
Δημήτριος Καλύκωψ
Δ. Μ. Αναγνώστης
Δημήτριος 'Αραμπατζόγλου
Δημήτριος Χ". Γιοβὰν
Δ. Ι Κ. Ο.
Δημήτριος Π. Δζεπανελῆς
Δημήτριος Ε Παπᾶ.
'Ελευθέριος Παπᾶ
'Εμμανουὴλ Γ. Γουναρόπουλος
'Εμμανουὴλ Κοκκινόπουλος
Εὐάγγελος Ν. 'Υποδηματοπώλης
'Ελευθέριος Α, 'Ασλανίδης
Εὐαγγελος Διαμαντίδης
Δημήτριος Π. Δαβιδόπουλος
Εὐάγγελος Ι. Ψιμάδης
Εὐδόκιμος Παϊσίου Προσκυνητὴς
'Ελευθέριος Δράκου 'Ασπριώτου
'Εμμανοὴλ Χατζὴ Ελευθερίου (Πάνορμος)
Εὐάγγελος Κ. Παρταλίδης Φαρμακοποιὸς
'Εμμανουὴλ Ι. Παπαδάκης
Ζήνων Π. Παπαδόπουλος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ζέκος Γεωργίου
Ζαχαρίας Χ'. Θεοδοσίου
Ζέκος Σάββα
Ζέκος Γεωργιάδου
Ζέκος Γιαζιτζίεφ (Σουτζουάσκοϊ)
Ζαχαρίας Δ 'Ασπριώτης
Ἡλίας Σάββα
Θεοχάρης Ἀβλαβίδης
Θεόδωρος Π. Ἀϊβάζογλους
Θεόδωρος Γιανοπούλου
Θεόδωρος Διαμαντόπουλος
Θεόδωρος Κ. Ζήσογλου
Θεόδωρος Γιαννούσης
Θεόδωρος Θεοχάρους
Θεοχάρης Προσκυνητὴς
Θεόδωρος Ράϊτσου
Θεόδωρος Χ'. Χάρτσου
Θεοχάρης Χ'', Δ. Μουμτζόγλους
Θεόδωρος Γ. Σούκιουρ
Θεόδωρος Ἀναστασίου
Θεόδωρος Κ. Ἀναγνωστόπουλος
Θεοχάρης Ἐμμανουὴλ
Θεόδωρος Γ. Τσακανιώτης
Θεόδωρος Κυριακίδης
Θεόδωρος Νικολάου
Θεόδωρος Ι. Κεχαγιόγλου
Θεόδωρος Ι. Θεοδωρίδης
Θεόδωρος Ι. Κοκινόπουλος
Θεοχάρης Δημητρίου
Ἰωάννης Νικολάου πρώην διδάσκ. τῆς Ἑλλην. Κοινότητος
Ἰωάννης Σεβαστόπουλος
Ἱπποκράτης Ι. Χυλητόπουλος
Ἰωάννης Μ. Κετσιτζίογλους
Ἰωάννης Δ. Κεσέογλους
Ἰάκωβος Δ. Γιακουμόπουλος
Ἰωάννης Γ. Ἀγγελόπουλος
Ἰωάννης Εὐαγγελίδης
Ἰωάννης Στάϊκου ('Ανδριανουπολίτης)
Ἰωάννης Ὑφαντὴς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἰωάννης Λουκᾶ
Ἰωάννης Δ. Κόκκινος
Ἰωάννης Νικολάου
Ἰωάννης Παρασκευᾶ
Ἰωάννης Χ΄΄. Περίδης
Ἰωάννης Πάνωφ (Ἀρταχὰν χωρίου Σεραφ.)
Ἰάκωβος Μαβλέκας
Ἰωάννης Γεωργίου Σίσκοφ
Ἰωάννης Χατσίδης
Ἰωάννης Λούκας
Ἰωσὴφ Ἰωσηφίδης
Ἰωάννης Χρηστόπουλος
Ἰωάννης Δημητρίου
Ἰωάννης Βασιλείου
Ἰωάνης Γιαννακόπουλος (Γανοχωρίτης)
Ἰωάννης Σασλόγλους
Ἰωάννης Κουζουλούδης (Ζαχαροπλάστης)
Ἰωάννης Γεωργίου
Ἰωσὴφ Ἰωσηφιάδης
Ἰωάννης Θεοχαρίδης
Ἰωάννης Π. Γεωργιάδης
Κωνσταντῖνος Αὐγερινίδης
Κωνσταντῖνος Ἀργυρόπουλος
Κωνσταντῖνος Α. Μπόλας
Κωνσταντῖνος Δαυϊδόπουλος
Κυριάκος Μ Αὐτζόγλους
Κωνσταντῖνος Μ Χρυσογόνου
Καραμφύλης Χρυσοστόμου
Κωνσταντῖνος Γ. Κρυστάλη
Κωνσταντῖνος Γεωργίου
Κώστας Γεωργίου
Κυριάκος Διαμαντίδης
Κωνσταντῖνος Γεωργίου (Κασπετσὰν)
Κωνσταντῖνος Καλογιάννη (Καρὰ οὐσεῖν)
Κυριάκος Ι. Παναγιώτου
Κυριάκος Νικολάου
Κ. Δημήτρωφ
Κοσμᾶς Δημητρίου
Κυριάκος Σταυρίδης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κωνσταντῖνος Χαραλαμπίδης
Κωνσταντῖνος Βασιλειάδης (Σώμ. 2)
Κωνσταντῖνος Παναγιώτου (ἠπειρώτης
Κωνσταντῖνος Πάσαρις
Κοσμᾶς Κωνσταντίνου
Κωνσταντῖνος Ι. Πετσούλης (ἠπειρώτης)
Κωνσταντῖνος Σ. Μαραγκοῦ
Κωνσταντῖνος Ι. Κεροποιὸς
Καραφίλης Ἀθανασίου
Κυριακὸς Δ Λασκαρίδης
Κωνσταντῖνος Θεοφιλάκτου
Καρυομφύλλης Β. Πούλογλου
Κυριάκος Γεωργίου
Λεωνίδας Κ. Νκαναβῆς
Λεοντῆς Χ''. Λοῦκα
Λάμπος Σκουλῆς
Λάζαρος Α. Νικολαΐδης
Λάμπρος Χρηστοφόρου
Λάζαρος Π. Βροχόπουλος
Μηχαὴλ Γ. Ἀβλαβίδης
Μιχαὴλ Χ''. Δανιὴλ
Μιχαὴλ Κουτσόπουλος
Μιχαὴλ Σιδέρη Κεχαγιάγλους
Μιχαὴλ Ι. Κετσιτζίογλους (Σεϊταντζικ)
Μιχαὴλ Νικολαΐδης
Μιχαὴλ Σ. Νικολαΐδης
Μιχαὴλ Κ Πρωτογερίδης
Μ. Βαλτατζῆς
Μόσχος Χ''. Σάββωφ
Μιχαὴλ Χ. Ἀνδριανουπολίτης
Μιχαὴλ Γ. Καμάνος
Μηχαὴλ Φ. Μύνογλους
Μιχαὴλ Παπᾶ Σπυρόπουλος
Μηχαὴλ Δ. Ἀμαξοπούλου
Μιχαὴλ Α. Παταδόπουλος
Μιχαὴλ Ι Κοκκινόπουλος
Μηχαὴλ Προγόκης (Χῖος)
Μιχαὴλ Εὐθυμιάδης
Μπαλάσης Πάγκου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θωμᾶς Δημητριάδης
Κ. Κ. Τρανὸς Ἰατρὸς
Ἀντώνιος Ἰωάννου Κουρεύς
Λεωνίδας Δαμασκηνὸς
Σωτήριος Θεοδωρίδης
Μουράτης Θεοφιλίδης
Ἰωάννης Ἀναγνωστίδης
Μόσχος Χ΄. Σαββίδης Ἀθηναῖος
Ἡλίας Η. Σαρίογλους
Παναγιώτης Εὐστρατιάδης
Ἐμμανουὴλ Χ΄. Ἐλευθερίου
Στογιάννης Α. Πιτρασκεύωφ
Σταῦρος Β. Ἀμαξοπούλου (Καρὰ οὐσεῖν)
Μαυρουδῆς Γ. Πιλίτσογλους
Μιχαὴλ Ι. Τσαούσογλους
Μιχαὴλ Γεωργίου
Βασίλειος Τ. Καλλεντζῆς
Νικόλαος Γεωργιάδης
Νικόλαος Νικολαΐδης
Νικόλαος Θ. Ταπτικλῆς
Νικόλαος Κωνσταντίνου Γραμ. τῆς Ἑλλην Κοινότητος Βάρνης
Νικόλαος Βλαστὸς
Νικόλαος Χ΄. Θεοδώρου
Νικόλαος Π Καβάρναλης
Νικόλαος Ἀσπριώτης
Νῖκος Εὐστρατιάδης
Νικόλαος Π Τσιργώτης
Νικόλαος Γ. Κορωναίου
Νικόλαος Γ. Κοβάτσωφ
Νικόλαος Μηχαὴλ
Νικόλιος Ἀθανασίου
Νικόλαος Κολάρωφ
Νικόλαος Κυριακοῦ
Νικόλαος Χρηστοδούλου
Νικόλαος Ι. Μυστακίδης
Νικολῆς Ρεΐζ Φωτίου (Σκουπιώτης)
Ξενοφῶν Πάντσου
Ξενοφῶν Π. Κελαϊδίτης
Ξενάκης Ξένος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅμηρος Κ. Αὐγερινίδης
Ὀδυσεὺς Δ. Καζαρμίδης
Παστίας Δ. Ριζόπουλος
Πέτρος Θ. Ἀποστολίδης Φαρμακοποιός
Παντολέων Κ. Σκαναβῆς
Πέτρος Γ. Ἀμπατζόγλους
Παναγιώτης Π. Χονδρόπουλος
Παναγιώτης Χ. Νικολαΐδης
Παναγιώτης Θ. Βάλσαμος
Πασχάλης Σοφιανὸς
Π. Χρυσόπουλος
Παναγιώτης Δ. Ἀρχοντόπουλος
Παναγιώτης Ε. Μυστακιάδης
Πρόδρομος Κοκκινόπουλος
Πάνκος Β. Βαλτατζῆς
Παναγιώτης Θ. Μακρῆς
Παναγιώτης Κ. Μακριβόγλου
Παναγιώτης Ἀρχοντίεφ
Παράσχος Ν. Δημόπουλος
Πέτρος Γ. Καζάκου
Πάσχος Δημητρίου
Παρασκευᾶς Φωτίου Τενεκετζῆς
Πέτρος Παπαδόπουλος
Πέτρος Προύσαλης
Πάσχος Βασιλείου
Παναγιώτης Γεωργίου
Πέτρος Βασιλείου
Παρούσης Παρασκευᾶ
Παναγιώτης Ι. Ἀργύρης
Πέτρος Ἀθανασίου
Πέτρος Χαραλάμπου Ἀριτσιανὸς
Παΐσιος Κοσμᾶ Κεσσαρεὺς
Παντελῆς Παναγιώτου
Παναγιώτης Α. Μαυρόπουλος
Παναγιώτης Χ. Γεωργίου
Πέτρος Π. Παπαδόπουλος
Παναγιώτης Δ. Καραμβατάκης
Παρασκευᾶς Δημητρίου
Πολυχρόνιος Μιχαήλ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Παῦλος Η. Σκορδήνης
Πρόδρομος Πογωνάτος
Πασχάλης Βρασοβάνωφ
Στέφανος Βασιλόπουλος
Σάββας Κιτρινόπουλος
Σταῦρος Φ. Ζαφειρόπουλος
Σταῦρος Στεφανόπουλος
Σταῦρος Λυκόπουλος
Στέφανος Ε. Βαφειάδης
Σταῦρος Κωνσταντίνου
Στέργιος Μακριβόγλους.
Σταυρῆς Ν. Μουκτάρης Ἀσπριώτης
Συμεὼν Φ. Ἀρτοποιός
Στέργιος Ἠλ. Γαρίπογλους
Σαράντη Χ. Θεοχάρους
Σίρμα Μ. Ραφτόπουλος
Στέφανος Κορβέσης
Σταῦρος Φάρης
Σάββας Σ. Σισμάνογλους
Σταῦρος Σιδεράκης
Σταῦρος Ἀλεξάνδρου
Σάββας Ι. Καναρόπουλος
Σταῦρος Β. Ἀμαξόπουλος
Στογιάννης Α. Παρασκεύωφ (Καρὰ σύσεϊν)
Στέργιος Γ. Βέλτσεφ
Σταῦρος Κ. Κηροποιὸς
Σταῦρος Φ. Ψιλοπόδαρος
Χ. Στέφανος Ν. Γουναρόπουλος
Στέφανος Κυριακοῦ
Τρύφων Ι. Νίκωφ
Τιμολέων Ἀναστασιάδης
Τριαντάφυλλος Α. Μυλονόπουλος
Φώτιος Ν. Γουναρόπουλος
Φίλιππος Παναγιώτου
Φλώρης Τρανὸς
Φίλιππος Θεοδώρου
Φίλιππος Κωνσταντίνου
Χρῆστος Μ. Χαραλαπίδου Σωμ. 2
Χρῆστος Μαυροφρίδης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Χ. ΛΑΜΠΡΙΔΗΣ ΣΩΜ. 10
Χριστόφορος Αφθονίδης
Χαρήδημος Σοφιανόπουλος
Χρῆστος Πόπωφ.
Χρῆστος Α. Ἀσλανίδης
Χριστάκ·ις Ι. Παπαδόπουλος
Χαράλαμπος Γεωργίου
Χρυσὸς Λ. Χρυσοσκούλου (Σωζουπολίτης)
Χαράλαμπος Θεοχάρη (χωρίον πασάϊτ)
Χρῆστος Ἰωάννου (Κηρόπουλος)
Χρῆστος Ἰωάνου Καπνοκόπτης
Χρῆστος Μιλοκόπουλος
Χρῆστος Παπᾶ Στάϊκου
Χρῆστος Στεργίου
Γεράσιμος Σιμάτος

ΟΙ ΕΝ ΒΑΡΝΗ ΚΥΡΙΑΙ

Καλλιόπη Κ. Φακάρου
Ταρσὴ Κ. Χρηστίδου
Ἑλένη Ν. Ἀραμπατζόγλου
Θεανὼ Ν. Νικολάου
Ἑλένη Γ. Χυληττοπούλου
Κυριακὴ Γ. Ὀνουφριάδου
Ἀνδρονίκη Χρήστου
Εὐφροσύνη Ν. Γουναροπούλου
Ἀβεξάνδρα Κ. Χρηστίδου
Παρασκευὴ Ν. Γουναροπούλου
Ὄλγα Γ. Ὀνουφριάδου
Ἰωάννα Ν. Ταπτικλῆ
Ζωὴ Δ. Ἀσπριώτου
Ζαφειρὼ Μ. Χέλμη
Κλεονίκη Γ. Ἀσπριώτου
Σταμάτα Α. Ἀσπριώτου
Ἀκακία Γ. Φωτιάδου
Παγωνὴ Γ. Ἀσπριώτου
Καλλιόπη Κ. Αὐτζόγλου
Καλλὴ Μιχαὴλ
Ἀγυρὴ Σ. Αὐτζόγλου
Ἀφροδίτη Γ. Κορωναίου
Ἑλένη Γ. Κορωναίου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κοραλία Ν. Θεοδώρου
Μαρία Θ. Ἀβλαβίδου
Σοφία Ι. Σαρίδου
Δέσποινα Κ. Φιλυρίδου
Ἀναστασία Γεωργίου
Χρυσὴ Μ. Νικολαΐδου
Μαρία Ν. Δημητριάδου
Οὐρανία Μόσχ. Πέτρου
Ἑλένη Δημητριάδου
Ἄννα Γουναροπούλου

Οἱ ΕΝ ΠΥΡΓΩ ΑΞΙΟΤΙΜΟΙ ΚΥΡΙΟΙ

Τῇ ἐπιστασίᾳ κ Νικολάου Θ. Ἀβλαβίδου

Νικόλαος Θ. Ἀβλαβίδης 2
Κ. Ποιτσιλαδῆς
Δημήτριος Γ. Βραχιολᾶς
Μιχαὴλ Θεοδωρίδης
Γεράσιμος Βαλασόπουλος
Δημήτριος Γεωργίου
Θρασύβουλος Σταυρίδης
Ἀνέστης Δ Καραγιαννίδης
Σωκράτης Ἰωαννὸς
Κ. Δ. Καλλεντζῆς
Ε. Γ. Ἰακωβίδης
Χρ. Ζέκωφ.
Κωνσταντῖνος Γραμμενίδης
Νικόλαος Κοριολάνος
Γεώργιος Κωνσταντίνου
Λεωνίδας *Α.* Χρυσόγελος
Χρυσὸς *Π.* Χρυσοῦ
Ἰωάννης *Α.* Γερακόπουλος
Ἀριστείδης Κάλφας
Χαράλαμπος Ἰωάνου
Παναγῆς Νικολαΐδης
Νικόλαος Γ. Δρακοπούλου
Ἰωάννης *Π* Γεωργιάδης

Τῇ ἐπιστασίᾳ κ. Δημητρίου Παπαδοπούλου

Δημήτριος Κ. *Παπαδόπουλος* Σώμ. 5
Μωϋσέως Χ. Λυκοῦργος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀλέξανδρος Εὐδοκίμου
Ἀνδρέας Κωνσταντίνου
Ἀλέξανδρος Κ. Ζωτιάδης
Σκουλῆς Ἀθανασίου
Λεοντῆς Στεφάνου (Χῖος)
Νικόλαος Θ. Κωστάλας
Νικόλαος Π. Χυλίτης
Εὐστράτιος Ἀθανασίου
Γεώργιος Κ. Παταδόπουλος
Σκουλῆς Βαλατσόπουλος
Ράλλης Νικολάου Καπνᾶς
Γεώργιος Σαράτσης
Καλογιάννης Ἀντωνίου
Ἰωσὴφ Νικολάου
Σταῦρος Νικολάου
Ἰωάννης Θ. Καζακόπουλος
Παναγιώτης Ιεροδιάκον
Οἰκονόμος Παπᾶ Πέτρος
Κωνσταντῖνος Χαραλάμπους
Σκουλῆς Θεοδωρίδης
Ἀθανάσιος Γ. Ἀβραδόπουλος
Σεραφεὶμ Καραγιάννου
Γεώργιος Χρ. Γεμενιτζῆς
Ζαφείριος Στεφάνου
Γεώργιος Θ. Ἀφεντόπουλος
Παναγιώτης Καβαλλίδης (Χῖος)
Κωνσταντῖνος Ἀνδρέου
Ἀντώνιος Γ. Κουφουδάκης
Ἀνδρέας Γ. Μπουμποῦ
Γιαννάκος Γ. Μπουμποῦ
Δημήτριος Γ. Μπουμποῦ
Παναγιώτης Κ. Τσιμούλης

ΕΝ ΒΑΛΤΖΙΚΙῼ

Τῇ ἐπιστασίᾳ κ. Παναγιώτου Α. Ἀρπατζόγλους

Παναγιώτης Α. Ἀρπατζόγλους Πρωτ. ψάλτης Σάμ. 2
Ἀντώνιος Ζ. Ζαγορίδης
Δημήτριος Ι. Παταδόπουλος
Γεράσιμος Καμπίτσης

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μιχαὴλ Χ''. *Πέτρου*
Νικόλαος Ἀβρέλος (ἐκ Σπετσῶν
Παρασκευᾶς Χ''. Ἠλιάδης
Παναγιώτης Ἀργυρόπουλος
Σάββας Σ. Μικρούλης διδάσκαλος
Χριστάκης Ι. *Παπαδόπουλος*
Παναγιώτης Γ. Ἀργύρης
Βασίλειος Ι. *Παπαδόπουλος*

ΕΝ ΚΑΒΑΡΝΗ

Δι' ἐπιστασίας Ἀλεξάνδρου Ι. Ἠλιάδου

Ἀλέξανδρος Ι. Ἠλιάδου Σώμ. 2,
Ἀχιλεὺς Κ. Κοντίδης δημοδιδάσκαλος
Λεωνίδας Γ. Καριομφυλλίδης
Γεώργιος Κωνσταντίνου
Ἰωάννης Ι Κουγιουμτζόγλους
Μενέλαος Δ. Χειρουργίδης
Παναγιώτης Αν. Διαμαντόπουλος

ΕΝ ΠΡΙΓΚΗΠΩ

Τῇ ἐπιστασίᾳ κ. Ἀργύρη Μ. Βρετοπούλου

Ἀρχιμανδρίτης καὶ *Πρωϊστάμενος* τῆς Ἱ. ἐκκλησίας τῆς *Παναγίας*
Ἱερεμίας Θ. *Πετροπούλου*
Νικόλαος Κ. Βοῦρος
Ἀναστάσιος Ν. Βαρούτης
Ἀργύρης Μ. Βρετόπουλος
Θεόδωρος Κ. Δίμπογλους
Χρῆστος Κεσαρεὺς Μουσικολαγιώτατος
Δημήτριος Κ. Δενδρολίβανος
Χρήστος Μ. Χ''. Θεοδώρου
Σπυρίδων Ριζόπουλος Σώμ. 2
Κοσμᾶς *Πανᾶς*
Παναγιώτης Κωνσταντίνου Νιάρη
Ἀναστάσιος Γ. Ἀντωνιάδης
Δημήτριος *Γ.* Χαριτίδης
Ἀντώνιος Ρούσσης
Ἀχιλεὺς Κουτράκης
Χαράλαμπος Κουτράκης
Γεώργιος Δ. Λιόση
Ζωὴ Δ. Λιόση

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



ΥΠΟΥΡΓΕΙΟ ΠΟΛΙΤΙΣΜΟΥ ΚΑΙ ΕΠΙΣΤΗΜΩΝ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Ημερομηνία επιστροφής .....

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

200

ΙΕΡΟΝ ΕΚΛΟΓΙΟΝ

ΕΘΝ. ΚΕΝΤΡ. ΒΙΒΛΙΟΘΗΚΗ ΥΠΟΥΡΓ. ΠΟΛΙΤ.
ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Δ Β

αριθ. χρ. 50110

Ψηφιακή Κεντρική Βιβλιοθήκη Βέ

Δημοτική Βιβλιοθήκη Βέροιας

